with force much to-hinder intending the undertaken work

ἀλλ᾽ οὐδὲν ἤνυσεν. ἀπαρτίσας οὖν καλῶς τὸ φρούριον
but nothing accomplished having-completed then well the fortress
καὶ πύργους ἀεροβάμους ἁρμόσας, καὶ φρερίους ἔνδον
and towers air-treading having-fitted and friars inside
φύλακας ἐγκαταστήσας, ἐπανῆκεν εἰς Ῥόδον, νόμους καὶ
(as)-guards having-installed returned to Rhodes laws and
ἔθη ἐπαφεὶς τοῖς φυλάκοις τοῦ φρουρίου τοῦ νήφειν
customs having-laid-on the guards of-the fortress — to-be-sober
ἀεὶ καὶ ἐγρηγορέναι, καὶ τὴν πᾶσαν ἐπιμέλειαν ἔχειν εἰς
always and to-be-watchful and the all care to-have for
τοὺς φυγάδας αἰχμαλώτους τοῦ ἀντιλαμβάνειν καὶ σώζειν
the fugitive captives — to-receive and to-save
αὐτοὺς εἰς τὸ φρούριον καὶ ἐλευθέρους γράφεσθαι παρὰ
them into the fortress and free to-be-registered by
τοῦ ἁγίου Πέτρου· ὃ καὶ νῦν μέχρι τὴν σήμερον σώζεται.
the holy Peter which also now until the today is-preserved
Ὁ δὲ Μεχεμὲτ ἤδη ἔαρος ἀρχομένου καὶ τὸν τῆς
— and Mehmed already spring beginning and the of-the
δύσεως στρατὸν ἀθροίσας ἔξεισι τῆς Ἀδριανουπόλεως,
west army having-gathered goes-out — from-Adrianople
καὶ περάσας τὴν Θράκην εἰς Προῦσαν ἔρχεται, καὶ
and having-crossed — Thrace to Prousa comes and
τοὺς τῆς ἑῴας σατράπας καλέσας σὺν παντὶ τῷ
the of-the east satraps having-summoned with all the
στρατῷ πρὸς τὰ τῆς Λυκαονίας μέρη ἀνέδραμεν, ἐκδικῆσαι
army toward the — of-Lycaonia parts ran-up to-avenge
θέλων τὰ παρὰ τοῦ Καραμὰν τολμηθέντα ἐν τῇ
wishing the(-things) by — Karaman dared in —
Προύσῃ, τὴν ἀνασκαφὴν τῶν πατέρων αὐτοῦ καὶ τὴν
Prousa the digging-up of-the fathers his and the
τῶν ὀστέων τῶν πατρικῶν ἐν πυρὶ δαπανηθεῖσαν παρὰ
of-the bones the paternal in fire consumed by

τοῦ Καραμὰν τόλμαν. ἐλθὼν δὲ καὶ πολλὰς πόλεις
— Karaman outrage having-come and both many cities
καὶ κώμας πυριφλεγέτους ἀναδείξας ἔφθασεν εἰς Ἰκόνιον.
and villages fire-blazing having-made reached to Ikonion
καὶ παραλαβὼν αὐτό, ὁ Καραμὰν ἦν φεύγων ἐν τοῖς
and having-taken it — Karaman was fleeing in the
πρὸς Συρίαν ὄρεσι, πρέσβεις δὲ πέμψας ἱκετικῶς ἐδέετο
toward Syria mountains envoys and having-sent suppliantly begged
τοῦ ἀφεθῆναι αὐτῷ τὸ πλημμέλημα. ὁ δὲ καμφθεὶς
— to-be-forgiven him the offense he and having-been-moved
ἐπὶ ταῖς δεήσεσιν ἀφίησιν αὐτῷ τὴν ἐπαρχίαν αὐτοῦ
at the entreaties leaves to-him the province his
καὶ διδοῖ ἀσφάλειαν δι᾽ ὅρκου τοῦ εἶναι πιστὸν καὶ
and gives surety by oath — to-be faithful and
ἀδολώτατον φίλον ἀεί, καὶ μὴ ἐπεμβαίνειν ὀψέ ποτε ἐν
most-guileless friend always and not to-encroach later ever into
τοῖς ὁρίοις Ὀθμάν. καὶ ἀφεὶς τοῦ διώκειν ἐστράφη
the bounds of-Osman and having-ceased — to-pursue he-turned
ὄπισθεν ἐν τῇ Προύσῃ, καὶ διαβὰς τὸν πορθμὸν ἦκεν
back to — Prousa and having-crossed the strait came
εἰς Ἀδριανούπολιν. κἀκεῖ διάγων ἦλθε μήνυμα πῶς
to Adrianople and-there staying came (a)-message that
ὕστατος ἀδελφῶν αὐτοῦ, Μουσταφᾶς ὀνομαζόμενος, υἱὸς
(the)-last of-brothers his Mustafa named son
τοῦ προρρηθέντος Παγιαζὴτ, ἐν τῇ Βλαχίᾳ ἦν διάγων· καὶ
of-the aforesaid Bayezid in — Wallachia was staying and
κατὰ μὲν τὸ πρῶτον πέμπει τοὺς τῶν δούλων ἐκκρίτους
at indeed the first he-sends the of-the slaves choicest
δύο τοῦ ἀποκεφαλίσαι τὸν Τζινεήτ. οἱ δὲ οὐχ εὗρον
two — to-behead — Cüneyd they but not found
αὐτόν· ἦν γὰρ πρὸ δύο ἡμέρας τὸν ποταμὸν περάσας
him he-had for before two days the river crossed

ἑνωθεὶς τῷ Μουσταφᾷ καὶ ὅρκους δοὺς αὐτῷ τοῦ
having-joined — with-Mustafa and oaths having-given to-him —
συνδραμεῖν καὶ συγκακοπαθῆσαι καὶ ἄρχοντα καταστῆσαι
to-help and to-suffer-with(-him) and (as)-ruler to-establish(-him)
δύσεως καὶ ἑῴας. μαθὼν οὖν τὴν φυγὴν τοῦ Τζινεὴτ
of-west and east having-learned then the flight — of-Cüneyd
ὁ Μεχεμέτ, καὶ μὴ φέρων τὴν ζημίαν ἣν ὑποστῆναι
— Mehmed and not bearing the harm which to-suffer
μέλλει παρ᾽ αὐτοῦ, στρατὸν ἀγείρει πολύν, καὶ ἐξελθὼν
he-is-about from him (an)-army gathers much and having-gone-out
ἀπὸ Θράκην ἦλθεν εἰς Μακεδονίαν. κἀκεῖ μαθὼν ὅτι
from Thrace came to Macedonia and-there having-learned that
ὁ Μουσταφᾶς σὺν τῷ Τζινεὴτ περάσαντες τὸν Ἴστρον,
— Mustafa with — Cüneyd having-crossed the Danube
ἔχοντες Βλάχους εἰς βοήθειαν καὶ ἀπὸ τῶν Τούρκων οὐκ
having Vlachs for help and from the Turks not
ὀλίγον στρατόν, πρὸς τὰ τῆς Θετταλίας μέρη κατέρχονται,
small army toward the — of-Thessaly parts come-down
καὶ αὐτὸς τὴν πρὸς αὐτοὺς σὺν τῷ στρατῷ πορείαν
and he the toward them with the army march
ἐποίει. ἀπαντηθέντες ἐγγὺς εἰς τὰ τῆς Θεσσαλονίκης
made having-met near at the — of-Thessalonica
μέρη καὶ δὴ συνάψαντες πόλεμον, καὶ τὴν νικῶσαν ὁ
parts and indeed having-joined battle and the victory —
Μεχεμὲτ λαχών, ἐδιώκοντο παρ᾽ αὐτοῦ μέχρι καὶ τῶν
Mehmed having-won were-pursued by him up-to even the
πυλῶν Θεσσαλονίκης ὁ Μουσταφᾶς σὺν τῷ Τζινεήτ.
gates of-Thessalonica — Mustafa with — Cüneyd
ἀνθίσταντο δὲ σὺν ὀλίγοις βοηθούμενοι παρὰ τῶν πολιτῶν.
they-resisted and with few being-helped by the citizens
ἑσπέρας δὲ ἤδη γενομένης καὶ μὴ θέλοντες εἰσῆλθον
evening and already having-come even not wishing they-went

ἐν τῇ πόλει. Δημήτριος δὲ Λάσκαρις ὁ Λεοντάρις
into the city Demetrios and Laskaris the Leontares
φιλοξενήσας αὐτοὺς καὶ παρηγορήσας, λέγων θαρρεῖν
having-entertained them and having-comforted(-them) saying to-take-heart
εἰς τὸ τῆς τύχης εὐμετάβολον καὶ μηδεμίαν ἐν νῷ
in the of-the fortune changeableness and no in mind
βάλλειν φροντίδα τοῦ προδοῦναι τούτους τῷ Μεχεμέτ,
to-put care — to-betray them — to-Mehmed
εἰ ἐπρόκειτο Θεσσαλονίκη παραδοθῆναι τοῖς Τούρκοις.
if it-were-appointed Thessalonica to-be-handed-over to-the Turks
θαρσήσαντες δ' ἐπὶ τούτοις τοῖς ὑποσχομένοις παρὰ
having-taken-heart and at these the(-things) promised by
τοῦ Δημητρίου ἀφροντίστως ἐδείπνησαν καὶ εἰς ὕπνον
— Demetrios carelessly dined and to sleep
ἐτράπησαν. πρωΐας δὲ γενομένης πέμπει πρὸς τὸν
turned morning and having-come sends to —
Λεοντάριον ὁ Μαχουμὲτ ἕνα τῶν ἀρχόντων αὐτοῦ, λέγων
Leontares — Mehmed one of-the lords his saying
„οἶδας ἀκριβῶς τὴν ἀγάπην ἣν κέκτημαι καὶ τὴν ἀρραγῆ
you-know precisely the love which I-have and the unbroken
φιλίαν σὺν τῷ βασιλεῖ τῶν Ῥωμαίων· μὴ βουληθῇς οὖν
friendship with the emperor of-the Romans not wish then
διασπαράξαι ταύτην καὶ εἰς τέλος ἀφανίσαι, καὶ παντὶ τῷ
to-tear-apart it and to (the)-end to-destroy and to-all the
γένει Ῥωμαίων ζημίαν προξενῆσαι, καὶ ἐν μέσῳ ἡμῶν
race of-(the)-Romans harm to-cause and in (the)-midst of-us
καὶ τῶν Ῥωμαίων εἰσάξαι ἔχθραν ἄσπονδον, ἀλλὰ τὴν
and of-the Romans to-bring-in enmity implacable but the
κυνηγηθεῖσαν παρ' ἐμοὶ θήραν ἀπόδος μοι. εἰ δὲ μὴ τοῦτο
hunted by me quarry give-back to-me if but not this
ποιήσεις, χαίρειν εἰπών μοι τὴν φιλίαν, τὴν ἔχθραν
you-will-do farewell having-said by-me (to)-the friendship the enmity

ἀσπάσομαι, καὶ ὡς ἐν ὀλίγῳ τὴν πόλιν σου παραλάβω,
I-will-embrace and as in (a)-little the city your I-shall-take
καὶ τοὺς ἔνδον αἰχμαλωτίσω, καὶ σοῦ τὴν ζωὴν ἀφελῶ,
and the(-ones) inside shall-enslave and your the life shall-take-away
καὶ τοὺς ἐχθρούς μου ἐν χερσὶν ἐμοῖς ἕξω." τότε ὁ κὺρ
and the enemies my in hands my shall-have then the lord
Δημήτριος φρονιμώτατος ὢν ἀντέγραψε, λέγων „ἐπίστασαι,
Demetrios most-prudent being wrote-back saying you-know
κύριε ἡγεμών, ὅτι ἐγὼ οὐκ εἰμὶ δεσπότης, ἀλλὰ δοῦλος
lord ruler that I not am (a)-master but (a)-slave
τυγχάνω, καὶ οὐ μόνον τοῦ βασιλέως Ῥωμαίων ἀλλὰ
I-happen(-to-be) and not only of-the emperor of-(the)-Romans but
καὶ σός, ἐπεὶ υἱὸς αὐτοῦ ἐτάχθης εἶναι. τὸ γοῦν
also yours since son his you-were-appointed to-be the(-thing) at-any-rate
προσταττόμενον παρὰ σοὶ χρέος ἐστὶ τοῦ πληρῶσαι καὶ
commanded by you (a)-duty it-is — to-fulfill and
εἰς πέρας ἄγειν. πλὴν χρέος καὶ τοῦτο ἐμόν ἐστι, τὸ
to completion to-bring but (a)-duty also this mine is the
τὰ συμβάντα καὶ τῷ ἐμῷ βασιλεῖ γνωστὰ ποιῆσαι.
the(-things) having-happened also to-the my emperor known to-make
καὶ γὰρ οὐκ ἔστι τῶν τυχόντων Τούρκων ὁ ἐν τῇ
and for not is(-he) of-the common Turks the(-one) into the
αὐλῇ εἰσελθὼν τοῦ βασιλέως, διωκόμενος ὡς πέρδιξ
court having-come of-the emperor pursued like (a)-partridge
ὑπὸ ἱέρακος, ἕνεκα σωτηρίας, ἀλλ' ἀδελφὸς σός, ὡς
by (a)-hawk for-the-sake of-safety but brother your as
ἔμαθον. εἰ δὲ καὶ τῶν τυχόντων εἷς, οὐδ' αὐτὸν ἂν
I-learned if and even of-the common one not-even him —
σοι δέδωκα τοῦ βασιλέως μὴ προτρέψαντος. διὸ
to-you would-I-have-given the emperor not having-bidden(-it) wherefore
ἱκετεύω δουλικῶς, ὑπόμεινον ὀλίγον· ἐγὼ δὲ τῇ ὥρᾳ
I-beseech slavishly wait (a)-little I and at-the hour

ταύτῃ μηνύω τῷ βασιλεῖ τὰ γενόμενα, καὶ ὡς
this report to-the emperor the(-things) having-happened and as
χρὴ κελεύειν κελευέτω, ἐγὼ δὲ τὸ προσταχθὲν
(it-is)-right to-command let-him-command I and the(-thing) commanded
πληρώσω.” ἀκούσας οὖν τοὺς λόγους τούτους ὁ Μαχουμὲτ
will-fulfill having-heard then the words these — Mehmed
συνεκατέθετο τοῦ γενέσθαι τὸ μήνυμα, γράψας καὶ αὐτὸς
agreed — to-be-done the message having-written also he
τὸν βασιλέα τὰ δοκοῦντα, καὶ παρακαλῶν αὐτὸν τοῦ
to-the emperor the(-things) seeming(-good) and urging him —
μὴ εἶναι αἰτίαν σκανδάλων τὰ συμβεβηκότα πράγματα.
not to-be (a)-cause of-offenses the having-occurred affairs
ὁ δὲ βασιλεὺς Μανουὴλ γράφει πρὸς τὸν Μαχουμὲτ „ἐγὼ
the and emperor Manuel writes to — Mehmed I
μέν, ὡς οἶδας ἀκριβῶς, ὑπεσχέθην τοῦ εἶναί με πατὴρ εἰς
indeed as you-know precisely promised — to-be me (a)-father to
σέ, σὺ δὲ υἱὸς εἰς ἐμέ. καὶ εἰ μὲν ἀμφότεροι φυλάξομεν
you you and (a)-son to me and if indeed both we-shall-keep
τὰ ὑποσχεθέντα, ἰδοὺ καὶ φόβος θεοῦ καὶ τήρησις
the(-things) promised behold both fear of-God and keeping
ἐντολῶν· εἰ δὲ παρεκβῶμεν αὐτά, ἰδοὺ ὁ πατὴρ ὡς
of-commandments if but we-transgress them behold the father as
προδότης υἱοῦ φανεῖται καὶ ὁ υἱὸς ὡς πατρὸς φονεὺς
betrayer of-(his)-son will-appear and the son as of-(his)-father murderer
κληθήσεται. ἐγὼ μὲν φυλάξω τοὺς ὅρκους, σὺ δὲ οὐ βούλει
will-be-called I indeed will-keep the oaths you but not wish
φυλάξαι. ἔστω ὁ ἐκδικῶν τὸν ἀδικούμενον θεὸς ὁ
to-keep(-them) let-be the(-one) avenging the(-one) wronged God the
δίκαιος κριτής. περὶ οὖν τῶν προσφύγων οὐκ ἔστιν
just judge about then the refugees not (it-)is(-possible)
εἰπεῖν οὐδὲ τοῖς ὠσὶν ἀκοῦσαι τοῦ παραδοῦναι αὐτοὺς εἰς
to-say nor with-the ears to-hear — to-hand-over them into

χεῖρας σου· τοῦτο γὰρ τὸ ἔργον οὐκ ἔστι βασιλικὸν ἀλλὰ
hands your this for the deed not is imperial but
τυραννικόν. καὶ εἰ μὲν ἐγὼ κατεδίωκον ἐμὸν ἀδελφόν,
tyrannical and if indeed I were-pursuing my brother
διωκόμενος οὖν κατέφυγεν ὑπὸ τῶν πτερύγων τῶν
being-pursued then (he)-fled under the wings the
σῶν, καὶ ζητῶν, οὐκ ἄν μοι ἔδωκας αὐτὸν τοῦ
your and seeking(-him) not — to-me you-would-have-given him —
θανατῶσαι. εἰ δὲ καὶ ἔδωκας, ἐποίησας ἂν ὑπὲρ
to-put-to-death if but even you-had-given(-him) you-would-have-done — beyond
ἄνθρωπον προδότης γεγονὼς καὶ φονεύς. ἴσθι οὖν τοῦτο,
(a)-man (a)-betrayer having-become and murderer know then this
ὡς οὐδέποτε γενήσεται δι' ἐμοῦ τὸ ἀπαίσιον τοῦτο ἔργον.
that never will-happen through me the ill-omened this deed
πλὴν ἐπεὶ οὕτως ἐτάχθην τοῦ εἶναί με εἰς τρόπον
but since thus I-was-appointed — to-be me in (the)-manner
πατρός σου, ὄμνυμί σοι τὸν ἕνα θεὸν τὸν ἐν τριάδι
of-(a)-father your I-swear to-you (by)-the one God the(-one) in trinity
ὑμνούμενον παρ' ἡμῶν τῶν Χριστιανῶν, τοῦ μηδ' ὅλως
hymned by us the Christians the not at-all
ἐξελθεῖν ἀπὸ τῆς φυλακῆς τὸν πρόσφυγα Μουσταφᾶν οὔτε
to-come-out from the custody the refugee Mustafa nor
τὸν αὐτοῦ συνοδοιπόρον Τζινεήτ, μέχρις οὗ παύσῃ τῆς
the his fellow-traveler Cüneyd until — you-cease from-the
ἡγεμονίας καὶ αὐτῆς τῆς ἐν τῷ κόσμῳ ζωῆς· παρελθόντος
dominion and itself the in the world life having-passed(-away)
δὲ σοῦ, καὶ καθὼς συναντήσει τὰ πράγματα. εἰ δὲ
and you and as (they)-will-turn-out the affairs if but
οὐ βούλει, πρᾶττε ὃ βούλει." τὸν δὲ Δημήτριον τὸν
not you-wish do what you-wish — and Demetrios the
Λεοντάριν διὰ προστάγματος λέγων γράφει „ἀναγνοὺς
Leontares by (a)-decree saying writes having-read

τὰ παρ᾽ ἐμοὶ προσταχθέντα συντόμως πλήρωσον.
the(-things) by me commanded speedily fulfill(-them)
βάλλων τοὺς πρόσφυγας αὐτούς, τὸν Μουσταφᾶν σὺν
putting the refugees themselves — Mustafa with
τῷ Τζινεήτ, καὶ τοὺς συνακολουθήσαντας ἐν τριήρει
— Cüneyd and the(-ones) having-followed(-them) in (a)-trireme
μιᾷ πέμψον διὰ τάχους εἰς ἡμᾶς. καὶ παρὰ τὸ
one send(-them) with speed to us and beyond the(-thing)
προσταχθὲν μὴ πράξῃς.” ὁ Μαχουμὲτ δὲ εἰς νοῦν λαβὼν
commanded not do — Mehmed and into mind having-taken
τὰ μέλλοντα γενέσθαι εἰ προσκρούσει τῷ βασιλεῖ,
the(-things) about to-happen if he-should-offend to-the emperor
καὶ μαθὼν ὡς ἐφ᾽ ὅρου ζωῆς αὐτοῦ τῷ Μουσταφᾷ
and having-learned that for (the)-term of-life his — for-Mustafa
οὐκ ἔσται ἐλευθερία τῆς φυλακῆς οὔτε τῷ Τζινεήτ,
not there-will-be release from-the custody nor — for-Cüneyd
ἐπαύσατο τοῦ ἐνοχλεῖν Θεσσαλονίκην, καὶ ἀπάρας ἐκεῖθεν
ceased — to-trouble Thessalonica and having-set-out from-there
ἦλθεν εἰς Ἀδριανούπολιν, ἀπαλλαγεὶς πολλῶν φροντίδων
came to Adrianople released from-many cares
καὶ ἐννοιῶν, καταδαμαζόμενος ὑπὸ τοῦ λογισμοῦ ἕνεκα
and thoughts being-overcome by the reckoning for-the-sake
τῆς φανερώσεως τοῦ Μουσταφᾶ καὶ τοῦ Τζινεήτ.
of-the appearance — of-Mustafa and — of-Cüneyd
ὁ δὲ κύρις Δημήτριος ὁ Λεοντάρις τριήριν μίαν ἑτοιμάσας
the and lord Demetrios the Leontares (a)-trireme one having-prepared
καὶ τοὺς δύο ἔνδον ἐμβαλὼν ἀπέστειλε τῷ βασιλεῖ. ὁ
and the two inside having-put sent(-them) to-the emperor the
δὲ βασιλεὺς τὸν μὲν Μουσταφᾶν μετ᾽ ὀλίγον ἐν τῇ
and emperor — indeed Mustafa after (a)-little to the
νήσῳ Λήμνῳ ἔπεμψε, προστάττων τοὺς αὐτοῦ φυλάττειν
island Lemnos sent commanding the(-men) his to-guard(-him)

ἐπιμελῶς· τὸν δὲ Τζινεὴτ ἔδωκε μονὴν αὐτῷ ἐν τῇ μονῇ
carefully — and Cüneyd he-gave (a)-dwelling to-him in the monastery
τῆς παμμακαρίστου, καὶ ἦν ἐκεῖ ἡσυχάζων. τότε ὁ
of-the all-blessed(-one) and he-was there living-quietly then the
βασιλεὺς στείλας ἀποκρισιαρίους ἐζήτει παρὰ τοῦ Μαχουμὲτ
emperor having-sent envoys asked from — Mehmed
τὰς δαπάνας ἃς ἔμελλε δαπανᾶν ὁ Μουσταφᾶς· ἦσαν γὰρ
the expenses which was-going to-spend — Mustafa were for
σὺν αὐτῷ νέοι τριάκοντα, καὶ σὺν αὐτῷ Τζινεὴτ δέκα.
with him young-men thirty and with him Cüneyd(-had) ten
ἐποίησεν οὖν κατ' ἔτος λαμβάνειν ὁ βασιλεὺς ἐκ τῶν
he-arranged then each year to-receive the emperor from the
θησαυρῶν καὶ τῶν εἰσοδημάτων τοῦ Μεχεμὲτ τριακοσίων
treasures and the revenues — of-Mehmed three-hundred
χιλιάδων ἄσπρων ἀριθμόν, λαβὼν ὅρκους τοῦ μὴ
thousand aspers (in)-number having-received oaths — not
ἀπολυθῆναι τὸν Μουσταφᾶν ἐφ' ὅρου ζωῆς τοῦ Μαχουμέτ·
to-be-released — Mustafa for (the)-term of-life — of-Mehmed
μετὰ δὲ τὸ θανεῖν ὡς ἴδῃ τοὺς μεταγενεστέρους πράττοντας
after and the to-die as he-sees the later(-rulers) acting
εἰς αὐτὸν τὸν βασιλέα, καὶ αὐτὸς τὸ συμφέρον
toward him the emperor also he the(-thing) advantageous
ἐκλέξεται. λαβόντες οὖν σύμφωνα ἐγγράφως καὶ ὅρκους
will-choose having-received then agreements in-writing and oaths
οἱ πρέσβεις ἀπῄεσαν. ὁ δὲ Μαχουμὲτ κατὰ τῶν Βλάχων
the envoys went-off — and Mehmed against the Vlachs
τρέφων ἔχθραν ἕνεκα τῆς τοῦ Μουσταφᾶ ἀναρρύσεως,
nursing enmity for-the-sake of-the — of-Mustafa rescue
πέμπει στρατὸν πολὺν καὶ λεηλατεῖ καὶ πυρπολεῖ καὶ
sends (an)-army large and plunders and burns and
ζημιοῖ τὰ πλεῖστα. μετὰ δὲ ταῦτα ἤρξατο ἐν
damages the(-things) most after and these(-things) began in

κρυφῇ τρέφειν ἔχθραν κατὰ τῆς πόλεως· ἦν γὰρ ταῦτα
secret to-nurse enmity against the city was for these(-things)
κρύπτων εἰς βάθος, ἀλλ᾽ οὐ φανερῶς τὸ παράπαν ἐδείκνυε.
hiding in depth but not openly the at-all showed(-it)
Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις ἦν τις ἀνὴρ ἐκ πόλεως
in and the days those there-was a-certain man from (the)-city
Φιλαδελφείας, ἄνθρωπος τὸ μὲν γένος Χριστιανός, τὴν
of-Philadelphia (a)-man in-the indeed race Christian in-the
τύχην εἷς ἐκ τῶν ἀρχόντων τῆς πόλεως Φιλαδελφείας,
fortune one of the lords of-the city of-Philadelphia
τὴν πρᾶξιν πανοῦργος καὶ δόλιος. οὗτος ἐν τῇ τῶν
in-the conduct knavish and deceitful this(-man) in the of-the
Σκυθῶν ἐπιδρομῇ εἷς ὢν τῶν προκαθημένων κατέδωκε
Scythians raid one being of-the presiding(-men) betrayed
πολλοὺς τῶν Χριστιανῶν ἐν χερσὶ τῶν ἀσεβῶν ἕνεκα
many of-the Christians into (the)-hands of-the impious for-the-sake
αἰτίας, πλουσίους ὑπάρχοντας, ἀποδοῦναι τὸ γραφὲν
of-(the)-cause(-that) rich being to-pay the assessed
τῷ Τεμὺρ τέλος· κἀκεῖνοι δὲ μὴ ἔχοντες ἀποδοῦναι,
— to-Timur tax and-they and not having(-the-means) to-pay
πυρὶ κατέφλεξαν αὐτοὺς οἱ βάρβαροι, ὡς καὶ τὸν ἀρχιερέα
with-fire burned them the barbarians so-as even the bishop
Φιλαδελφείας εἰς τοσούτους πειρασμοὺς εἰσάξαι καὶ βάσανα
of-Philadelphia into such trials to-bring and tortures
τοῦ ἐξομόσασθαι τὸ σέβας τῶν Χριστιανῶν. οὗτος ἐλθὼν
— to-abjure the faith of-the Christians this(-man) having-come
ἐν Κωνσταντινουπόλει καί τινι τῶν τοῦ παλατίου
to Constantinople and with-one of-the(-men) of-the palace
ἐντυχὼν καὶ σὺν αὐτῷ συχνάκις εἰσερχόμενος,
having-become-acquainted and with him often going-in
μιᾷ τῶν ἡμερῶν ἐν τῷ παλατίῳ ἐγένετο ζήτησίς
on-one of-the days in the palace there-was (a)-search

τινος διερμηνευτοῦ, χρείας κατεπειγούσης. ὁ δὲ ἑτοίμως
for-some interpreter (a)-need pressing he and readily
εἰσέρχεται, καὶ τὰ παρὰ Τούρκων λαλούμενα αὐτὸς
goes-in and the(-things) by Turks spoken he
ἐξηλλήνιζεν· ἦν γὰρ τὴν διάλεκτον τῶν Τούρκων εἰς
rendered-into-Greek he-was for the language of-the Turks to
ἄκρος μεμαθηκώς. ἔκτοτε οὖν οἱ πρέσβεις τοῦ βασιλέως
(the)-utmost having-learned thenceforth then the envoys of-the emperor
εἶχον ὁμοῦ καὶ τὸν Θεολόγον (οὕτω γὰρ ἐκαλεῖτο)
had together(-with-them) also — Theologos thus for he-was-called
συνερχόμενον διὰ τὴν διάλεκτον. συχνάκις οὖν τὰ
coming-along because-of the language often then the(-business)
τῆς πρεσβείας οὐ διέλειπον διά τινων συμβαινόντων
of-the embassy not ceased because-of certain arising
αἰτιῶν, καὶ ὁ Θεολόγος σὺν τοῖς πρέσβεσιν. οἰκειωθεὶς
causes and — Theologos with the envoys having-become-familiar
τοίνυν τῷ Παγιαζὴτ τῷ μεσάζοντι τοῦ Μαχουμὲτ ἐγένετο
therefore — with-Bayezid the minister — of-Mehmed became
μέγας τὸ καθ' ἡμέραν φίλος αὐτοῦ, λαμβάνων παρὰ τῶν
great the by day friend his taking from the
Ῥωμαίων μυστήριά τινα καὶ ῥίπτων ἐν τοῖς ὠσὶ τοῦ
Romans secrets some and dropping(-them) into the ears —
Παγιαζὴτ, καὶ δεικνύων ἀκραιφνῆ πίστιν εἰς αὐτούς, παρὰ
of-Bayezid and showing pure faith toward them from
δὲ τῶν Τούρκων ἐκ μέρους ἀνακαλύπτων. κατήντησεν
and the Turks in part revealing he-came
οὖν εἰς τοσοῦτον ἄκρος τῆς τύχης ὡς καὶ καθολικὸς
then to such (a)-height of-the fortune that even general
ἀποκρισιάριος τοῦ βασιλέως γενέσθαι καὶ σύνδειπνος τοῦ
envoy of-the emperor to-become and table-companion —
Παγιαζὴτ καὶ αὐτοῦ τοῦ Μαχουμὲτ πολλάκις. ἐλέγετο δὲ
of-Bayezid and of-very — Mehmed often it-was-said and

παρὰ πολλῶν καὶ ἠκούετο ὡς ὁ Θεολόγος οὐκ ἦν ἀληθὴς
by many and was-heard that — Theologos not was true
συνεργὸς τῶν Ῥωμαίων ἐπὶ καλῷ· καὶ τὸν ῥηθέντα
helper of-the Romans for good and the aforesaid
Μουσταφᾶν ἕνεκα φόβου, τοῦ μὴ φυγαδεῦσαι τοῦτον ἐκ
Mustafa for-the-sake of-fear — not to-smuggle-away him from
τῆς πόλεως, ἐν τῇ Λήμνῳ ἐξώρισαν. καὶ ἄλλα τινά,
the city to — Lemnos they-exiled and other some(-things)
σιτοδοσίας λέγω καὶ τὰ ὑποσχεθέντα εἰς δαπάνην
grain-allowances I-mean and the(-things) promised for (the)-expense
τοῦ Μουσταφᾶ, κατὰ καιρὸν ἐκωλύοντο παρὰ τῶν
— of-Mustafa from time(-to-time) were-withheld by the
Τούρκων· καὶ μηνύων ὁ βασιλεὺς δι' ἑτέρων πρέσβεων
Turks and sending-word the emperor through other envoys
οὐδὲν ἤνυεν, ἕως ἐλθὼν ὁ Θεολόγος πάντ' ἔπραττεν.
nothing accomplished until having-come — Theologos all(-things) accomplished
εἶχον οὖν οἱ Ῥωμαῖοι κακὰς ὑπολήψεις εἰς αὐτόν.
had then the Romans bad suspicions toward him
ὁ δὲ βασιλεὺς Μανουὴλ οὔτε ὑπώπτευεν, ἀλλ' οὐδ' ἐδείκνυεν,
the but emperor Manuel neither suspected but nor showed(-it)
εἰ καὶ ἔνδον εἶχέ τι. πλὴν καθὼς μετασκευάζει ὁ σοφὸς
if even inside he-had anything but as transforms the wise
ἀρχιτέκτων θεὸς τὰ πάντα, καὶ ἐν μιᾷ ὥρᾳ τὰ
architect God the(-things) all and in one hour the(-things)
καλῶς ἱστάμενα καταστρέφει, τὰ δὲ κακῶς κείμενα
well standing overturns the(-things) and badly lying
ἀνεγείρει, οὕτω καὶ τὰ τοῦ Θεολόγου, μᾶλλον δὲ Θολλόγου,
raises-up so also the — of-Theologos rather and of-Thollogos
βουλεύματα, εἰ καὶ ἀληθῆ τὰ παρὰ πολλῶν λεχθέντα
plans if even true(-were) the(-things) by many said
τότε, καθὼς καὶ τὸ τέλος ἔδειξεν, εἰς κενὸν μετεστράφησαν.
then as also the end showed to nothing were-turned

ὁ γὰρ Μαχουμὲτ ἐν κυνηγίῳ ἱππεύων, καὶ ὑὸς ἐξερχομένου
— for Mehmed on (a)-hunt riding and (a)-boar coming-out
ἐκ τοῦ δρυμῶνος, καὶ αὐτὸς τὸ δόρυ κινῶν κατὰ τοῦ
from the thicket and he the spear moving against the
θηρίου πίπτει τοῦ ἵππου ἐπιληψίᾳ κεκρατημένος ἡμίξηρος.
beast falls from-the horse by-(a)-seizure gripped half-dead
ἄραντες δ' αὐτὸν ἤγαγον ἐν τῷ παλατίῳ· ἦν γὰρ
having-lifted and him they-brought(-him) into the palace he-was for
ἐγγὺς τῆς Ἀδριανοῦ θηρεύων. μετακαλεσάμενοι οὖν τοὺς
near the(-city) of-Hadrian hunting having-summoned then the
δοκιμωτάτους τῶν ἰατρῶν, καὶ τοὺς ἐγγὺς καὶ τοὺς
most-proven of-the physicians both the(-ones) near and the(-ones)
πόρρω, ἀνεβοήθουν αὐτὸν τάχα. ὁ δὲ στρατὸς ἅπας ἦν
far they-tried-to-help him quickly the and army whole was
ἀδημονῶν καὶ ζητῶν τὸν ἡγεμόνα θεάσασθαι. πρωΐ
distressed and seeking the ruler to-behold (in-the)-morning
παράστασις γενομένη, κατὰ τὸ ἔθος ἐξήγαγον αὐτὸν
(a)-parade having-been-made according-to the custom they-brought him
ἔξω, καὶ ἰδόντες αὐτὸν πάντες εὐφήμησαν καὶ ἐχάρησαν.
out and having-seen him all acclaimed and rejoiced
τῇ δ' ἐπιούσῃ πάλιν ἐπιληψίας εἰσπεσούσης, καὶ φωνὴν καὶ
on-the and next(-day) again (a)-seizure having-come-on both (in)-voice and
γλῶτταν κωλυθεὶς ἑσπέρας ἤδη καταλαβούσης ἀπέδωκε
tongue having-been-hindered evening already having-come paid
τὸ χρεὼν ἐπὶ τῆς στρωμνῆς αὐτοῦ. παρελθόντος οὖν τοῦ
the debt(-of-nature) on the bed his having-passed then —
Μαχουμὲτ ἐν εἰρήνῃ τὸ πλέον τῆς ἀρχηγίας αὐτοῦ μετὰ
Mehmed in peace the greater(-part) of-the rule his with
τοῦ βασιλέως Ῥωμαίων καὶ πάντων τῶν Χριστιανῶν πλὴν
the emperor of-(the)-Romans and all the Christians except
τῶν Βενετικῶν, ἐτελεύτησεν ἀποδοὺς τὸ χρέος ἀτάραχον·
the Venetians he-died having-paid the debt untroubled

καὶ γὰρ ἐν εἰρήνῃ καὶ ἐν τῇ Ἀδριανοῦ ἐντὸς τοῖς παρ᾽
and for in peace and in the(-city) of-Hadrian within the by
αὐτοῦ δομηθεῖσι παλατίοις νόσῳ μικρᾷ προσομιλήσας
him built palaces with-(a)-sickness small having-had-to-do
ἐξέψυξε, θάνατον δοὺς τὸν ὃν ἐκ προγόνων
breathed-his-last (a)-death having-rendered the(-one) which from forebears
ἡ τύχη οὐκ ἔκλωσεν· καὶ γὰρ οἱ μὲν φαρμάκῳ, οἱ
the fortune not spun and for some indeed by-poison others
δὲ πνιγμονῇ, ἕτεροι μαχαίραις τὸν βίον κατέλυσαν πλὴν
and by-strangling others by-swords the life ended but
τούτου, τῆς Ἀτρόπου παραβλεψάσης, ὡς οἶμαι, ἕνεκα
of-this(-man) — Atropos having-overlooked as I-think for-the-sake
φιλίας ἣν ἔσχε καθαρὰν πρὸς τοὺς αὐτοκράτορας
of-(the)-friendship which he-had pure toward the emperors
καὶ συμπάθειαν ἣν ἐδείκνυ πρὸς τὸ τοῦ Χριστοῦ ὑπήκοον.
and (the)-sympathy which he-showed toward the — of-Christ subjects
Διαβὰς οὖν τὴν πρὸς τὸν Ἅιδην ἀμεταστρεφῆ ὁδόν,
having-passed then the to — Hades unreturning road
κατέλιπε τὸν πρῶτον τῶν υἱῶν αὐτοῦ ἀρχηγὸν Τούρκων,
he-left the first of-the sons his (as)-leader of-(the)-Turks
τὸν καλούμενον Μουράτ, τότε ἐν τοῖς ὁρίοις Ἀμασείας
the(-one) called Murad then in the bounds of-Amaseia
ἡγεμονεύοντα. καὶ γὰρ ἐκεῖ τὰς ἄκρας ἐκείνας ἔλαχεν
ruling and for there the frontiers those he-had-obtained
αὐθεντεύειν, δοθείσας παρὰ τῷ πατρὶ αὐτοῦ, ὅρια
to-govern given by the father his bounds
τυγχάνοντα τῶν Περσοτούρκων, οὓς ἦρχε Καραιουλοὺκ
being of-the Turko-Persians whom ruled Kara-Yuluk
γειτνιάζων Λάζους καὶ Πέρσας, ὃς καὶ θυγατέραν Ἀλεξίου
bordering Lazes and Persians who also (the)-daughter of-Alexios
τοῦ Κομνηνοῦ βασιλέως Τραπεζούντων εἰς γάμον ἠγάγετο.
the Komnenos emperor of-Trebizond in marriage had-taken

καὶ γὰρ ἀτακτοῦντες πολλάκις οἱ τῆς Ἀμασείας
and for being-unruly often the(-people) — of-Amaseia
καὶ τοὺς Τουρκοπέρσας προσκαλοῦντες, ἐπεὶ ὁμογενεῖς
and the Turko-Persians calling-in since of-same-race
καὶ ὁμοδίαιτοι τυγχάνουσιν, εἰς ἀποστασίαν χωροῦντες
and of-same-way-of-life they-are to revolt going
ἐφαίνοντο. δεῖν ᾠήθη ὁ παρελθὼν Μεχεμέτ, ὁ πατὴρ
appeared to-be-needful thought the departed Mehmed the father
αὐτοῦ, ἐγχειρίσαι τὴν ἐπαρχίαν τῷ υἱῷ αὐτοῦ, καὶ
his to-entrust the province to-the son his and
καταστῆσαι τοῦτον κύριον ἐν τοῖς ὁρίοις ἐκείνοις καὶ
to-establish him lord in the bounds those and
κεφαλὴν πρὸς Πέρσας ἀντιπαρατάττουσαν, ὡς κἀκεῖνος ἐν
(a)-head against Persians arrayed-against(-them) as and-he in
τῇ Ἀδριανοῦ πρὸς Ῥωμαίους Οὔννους Βλάχους Σέρβους
the(-city) of-Hadrian against Romans Huns Vlachs Serbs
Βουλγάρους δόρυ κινῶν, ἐν πάσῃ τῇ Ἀσίᾳ καὶ Θράκῃ
Bulgarians (a)-spear moving in all — Asia and Thrace
τὸ ὑπήκοον ἐν εὐπραγίᾳ διάγειν. κληρωθεὶς οὖν ὁ
the subjects in prosperity to-live(-would-make) having-received then —
Μουρὰτ πεγ τὴν ἀρχηγίαν οὐκ ἀταράχως οὐδ' ἄνευ ζάλης
Murad bey the rule not untroubled nor without storm
εἰσῆλθεν, ἀλλὰ μετὰ πολλοῦ τοῦ θορύβου καὶ μεγάλης
entered(-it) but with much the uproar and great
ζημίας τὸν κότινον ἔλαβεν, ὡς ὁ λόγος φθάσας δηλώσει.
loss the olive-crown took as the account hastening will-show
καὶ γὰρ ὁ τούτου πατὴρ νοσηλευθεὶς προσκαλεῖται τὸν
and for the his father having-fallen-sick summons the
πρῶτον τῶν μεγιστάνων αὐτοῦ, ὃν καὶ βεζύρην καὶ
first of-the magnates his whom both vizier and
πάσσαν κατὰ τὴν αὐτῶν καλοῦσι φωνήν, ὃν οἱ Ῥωμαῖοι
pasha in the their they-call speech whom the Romans

πατρίκιον καὶ μεσάζοντα λέγουσι. ὄνομα τῷ ἀνδρὶ
patrician and minister call (the)-name to-the man
Παγιαζήτ, γένους Ἀλβανῶν, ἐκ παιδόθεν τὴν δουλικὴν
Bayezid of-race of-Albanians from childhood the slave's
τύχην λαχὼν καὶ τῷ Μεχεμέτ πεγ συνὼν ἔν τε
lot having-received and — with-Mehmed bey being-with in both
δυσπραγίαις καὶ θλίψεσιν. ἔτι νέος ὢν ὁ Μεχεμὲτ παρὰ
misfortunes and afflictions still young being — Mehmed by
τοῦ Τεμὺρ τοῦ τὸν πατέρα τούτου κτείναντος διωκόμενος
— Timur the(-one) the father his having-killed pursued
ἐν τοῖς ὄρεσι Γαλατίας ἐν ὁρίοις Ἀγκύρας τῆς πόλεως,
in the mountains of-Galatia in (the)-bounds of-Ankyra the city
ἐν οἷς καὶ ὁ πόλεμος ἐκεῖνος ὁ μέγας, ὃν προλαβὼν
in which also the battle that the great(-one) which earlier
ὁ λόγος ἐδήλωσε, πολλὰ δεινὰ καὶ ταλαιπωρίας
the account showed many terrible(-things) and hardships
ὅτι πλείστας ἐν ἐξορίαις διάγων καὶ διωκόμενος παρὰ
as many-as-possible in exiles living and being-pursued by
τῶν Περσῶν, ὁ ῥηθεὶς Παγιαζὴτ συνεδυσπράγει καὶ
the Persians the aforesaid Bayezid shared-misfortune and
συνεθλίβετο, καὶ ταῦτα πῶς; πεζοὶ τὴν πορείαν ποιούμενοι
shared-affliction and that(-too) how on-foot the march making
ἄμφω οἱ δύο, παῖς ὢν ἔτι ὁ Μεχεμὲτ καὶ μὴ φέρων τῆς
both the two (a)-boy being still — Mehmed and not bearing of-the
ὁδοῦ τὸν ἀγῶνα, ἀλλὰ τοὺς πόδας ἐξογκωθεὶς καὶ μηκέτι
road the struggle but the feet having-swollen and no-longer
βαδίζειν δυνάμενος, ὁ Παγιαζὴτ ἐν τοῖς ὤμοις φέρων
to-walk being-able — Bayezid on the shoulders carrying(-him)
πορείας ὁδὸν ἡμερῶν ἱκανῶν, ὡς ὄνος Λιβυστικός, ἐν
of-journey (a)-road of-days many like (an)-ass Libyan into
τῇ τοῦ πατρὸς ἡγεμονίᾳ αὐτὸν ἐπανέσωσεν· καὶ πολλάκις
the of-the father dominion him brought-back-safe and often

ἄσιτος διαμένων αὐτός, ἐν σχήματι μονοχίτωνος ὑπεισδύων
foodless remaining himself in (the)-garb of-(a)-single-tunic slipping-in
καὶ τὰς κώμας περιθέων, ἄρτους αἰτῶν ὡς προσαίτης
and the villages running-about loaves asking like (a)-beggar
τὸν Μαχουμὲτ διεψώμιζεν, δοῦλος φανεὶς ἀγαθὸς
— Mehmed fed (a)-slave having-shown(-himself) good
καὶ πιστὸς καὶ οὐχ οἷος τ᾽ ἦν.
and faithful and not able — was(-one-to-tell)
ἀλλὰ καὶ αὐτὸς ἀνδρωθεὶς καὶ τὴν πατρικὴν
but also he having-grown-to-manhood and the paternal
ἡγεμονίαν ὡς ἀνακτηθέντα κλῆρον λαβών, καὶ αὐτὸς
dominion as recovered inheritance having-taken also he
ἀνταμείψατο κατὰ τὸν εἰπόντα κύριον „ἐπὶ ὀλίγα
repaid(-him) according-to the(-one) having-said Lord over (a)-few(-things)
ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω.“ τοῦτον καὶ
you-were faithful over many you I-will-set him also
αὐτὸς κύριον τοῦ οἴκου αὐτοῦ κατέστησε καὶ πάσης τῆς
he lord of-the house his established and of-all the
γῆς παρ᾽ αὐτοῦ ἀρχομένης. ὁ Προμηθεὺς οὖν οὗτος,
land by him ruled the Prometheus then this
ὁ ῥηθεὶς Παγιαζήτ, καλῶς καὶ ὡς εἶχε διοικήσας
the aforesaid Bayezid well and as was-fitting having-administered
τὴν ἡγεμονίαν καὶ τὴν ἐπιστασίαν πᾶσαν Ἀσίας τε καὶ
the dominion and the oversight all of-Asia both and
Θράκης, πᾶσαν φροντίδα στρατοῦ τε καὶ πολέμων καὶ
Thrace all care of-army both and wars and
εἰρηνικῆς καὶ μαχίμου καταστάσεώς τε καὶ συμπλοκῆς
peaceful and warlike state both and engagement
διευθύνας ὡς ἔπρεπεν, ἔτι ζῶντος τοῦ Μαχουμὲτ καὶ
having-directed as was-fitting still living — Mehmed and
εἰρηνικῶς αὐθεντεύοντος. νοσήσας αὐτὸς προσκαλεῖται
peacefully ruling having-fallen-ill he summons

τὸν Παγιαζὴτ καὶ διατίθεται πάντα τὰ κατ' αὐτόν,
— Bayezid and disposes all the(-things) concerning him
διαθήκην συντάξας καὶ ὑστεραίαν βούλησιν, λέγων ἐν
(a)-testament having-drawn-up and last will saying by
τῷ θεῷ καὶ ἐν τῷ προφήτῃ αὐτῶν καὶ ἐν τῷ ἄρτῳ καὶ
the God and by the prophet their and by the bread and
ἅλατι τῷ παρ' αὐτοῦ δοθέντι καὶ δαπανηθέντι εἰς βρῶσιν
salt the by him given and spent for food
αὐτῷ, ἤγουν τῷ Παγιαζήτ, ὡς ἔσται πιστὸς δοῦλος
to-him that-is — to-Bayezid that he-will-be (a)-faithful slave
καὶ τοῦ υἱοῦ αὐτοῦ Μουράτ, καθὼς καὶ ἐν αὐτῷ ἦν,
also of-the son his Murad as also to him he-was
καὶ παραδώσει τούτῳ τὴν ἡγεμονίαν τὴν πατρικήν, καὶ
and will-hand-over to-him the dominion the paternal and
καταστήσει αὐτὸν κύριον τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ. τὰ
will-establish him lord of-the house of-the father his the
δὲ ἕτερα δύο τέκνα (ἔτυχε καὶ γὰρ ὁ Μουρὰτ τότε τὴν
and other two children it-happened and for — Murad then the
ἔφηβον ἡλικίαν ἐντρέχων, τὰ δὲ δύο ἄνηβα ὀκταετῆ καὶ
youthful age entering-on the and two under-age eight-year-old and
ἑπταετῆ τυγχάνοντα) ταῦτα οὖν ἐν τῇ διατάξει προστάξας
seven-year-old being these then in the testament having-ordered
ὡς ἵνα πρὸς τὸν αὐτοκράτορα Μανουὴλ ἐγχειρίσει,
that that to the autocrat Manuel he-will-entrust(-them)
καὶ ὁ βασιλεὺς ἔσται τούτων ἐπίτροπος· ταῦτα γὰρ
and the emperor will-be their guardian these(-things) for
πάντ' ἔπραττεν φοβούμενος μήπως ὁ Μουρὰτ διὰ
all he-did fearing lest — Murad by
πνιγμονῆς αὐτά, καθὼς ἔθος αὐτῶν ἐστι, φθείρῃ, ὡς
strangling them as (the)-custom their is destroy as
καὶ γέγονε. καλῶς οὖν διαταξάμενος, καὶ θαρρῶν ὡς καὶ
also happened well then having-disposed and trusting that even

θανὼν εὑρήσει τὰ πράγματα σὺν τοῖς τέκνοις εἰρηναίαν
having-died he-will-find the affairs with the children (in)-peaceful
κατάστασιν, ἠστόχησε τοῦ σκοποῦ πόρρω βαλών. καὶ γὰρ
state he-missed the mark far having-shot and for
ἐνενόει ὅτι „εἰ τὰ δύο μου τέκνα ἔσονται ἐν ταῖς βασιλικαῖς
he-reasoned that if the two my children will-be in the imperial
χερσίν, ἔσται ὁ Μουρὰτ ἄνευ ζάλης καὶ θορύβου κύριος
hands will-be — Murad without storm and uproar lord
πάντων τῶν ὑπηκόων, μὴ ἔχοντες οἱ στασιασταὶ χεῖρας
of-all the subjects not having the rebels hands
ἆραι. τὰ δὲ νήπια ἐλευθερωθήσονται φόνου ἀδίκου,
to-raise the and infants will-be-freed from-murder unjust
ἔχοντα τὸ ἀρκοῦν παρὰ τοῦ ἀρχηγοῦ εἰς παντοίαν
having the(-thing) sufficient from the leader for every-kind-of
ζωήν.” ὁ δὲ βασιλεὺς διὰ τῶν ὁμήρων ὑπενόει τούτων
living the and emperor through the hostages supposed these
ὡς ἕξει καθαρὰν καὶ ἀνόθευτον τὴν φιλίαν μετὰ
that he-will-have pure and unadulterated the friendship with
τοῦ Μουράτ, ἐκφοβῶν τὸν κύνα διὰ τῶν ῥοπάλων ὡς
— Murad frightening the dog with the clubs like
Ἡρακλῆς· καὶ εἴ ποτε τὰ τῆς τύχης ἀποκάμωνται νήματα
Heracles and if ever the of-the fortune should-weary threads
τοῦ Μουράτ, ἕξει τὸν ἀρχηγὸν ὁ βασιλεὺς συνήθη
— of-Murad will-have the leader the emperor (a)-familiar
καὶ ἡμερόχειρον, ὅφιν καλῶς ἐν τοῖς κόλποις αὐτοῦ
and tame snake well in the bosom his
τραφέντα· καὶ εἰ λαθὼν δάκῃ, ὡς τὰ τῆς φύσεως
raised and if unnoticed it-should-bite as the(-things) of-the nature(-are)
ἀμετάστατα, ἀλλὰ κἂν τὸ φάρμακον οὐκ ἀποξενῶσι
unchangeable yet at-least the poison not they-estrange

τοῖς ὀδοῦσι. ταῦτα ὀνειροπολῶν ὁ βασιλεὺς ἔχαιρεν·
from-the teeth these(-things) dreaming the emperor rejoiced
ἡ δὲ τύχη τῶν Ῥωμαίων ὁρῶσα τὸ μέλλον ἔστενε.
the but fortune of-the Romans seeing the future groaned
Θανὼν δὲ ὁ Μαχουμέτ πεγ, καθὼς προέφημεν, ἐν τῇ
having-died and — Mehmed bey as we-said-before in the(-city)
Ἀδριανοῦ, ἐντὸς τοῖς παρ' αὐτοῦ δομηθεῖσιν οἰκήμασι,
of-Hadrian within the by him built dwellings
τεσσαράκοντα ἡμέρας ἔκρυπτον τὸ πτῶμα αὐτοῦ ἐν τῇ
forty days they-hid the corpse his in the
οἰκίᾳ ᾗ ἔκειτο ἄταφον, τινὸς μὴ γινώσκοντος ὅτι
house in-which it-lay unburied anyone not knowing that
τέθνηκεν πάρεξ τεσσάρων, Παγιαζὴτ καὶ Ἰπραὶμ τῶν
he-had-died except four Bayezid and Ibrahim the
πατρικίων ἢ βεζιρίδων, καὶ δύο ἰητρῶν, οἳ καὶ καθ' ἡμέραν
patricians or viziers and two physicians who also by day
εἰσερχόμενοι ἐξήρχοντο, κενολογοῦντες τοῖς μεγιστᾶσιν ὡς
going-in came-out telling-empty-tales to-the magnates that
ὁ ἀρχηγὸς νοσηλεύεται καὶ ἀνάγκη τινῶν χρειωδῶν ἐστὶ
the leader is-sick and need of-some useful(-things) is
πρὸς θεραπείαν ἁρμοδίαν. καὶ ἦν ἰδεῖν ἀπεσταλμένον
for treatment fitting and it-was(-possible) to-see sent-off
πλῆθος πολύ, τοὺς μὲν ἐν Σερβίᾳ, τοὺς δὲ ἐν τῇ
(a)-multitude great some indeed in Serbia others and in the(-city)
Κωνσταντίνου, ἄλλους ἐν ταῖς νήσοις ἐρευνῶντας τὰ
of-Constantine others in the islands searching(-for) the(-things)
πρὸς ἰατρείαν χρήσιμα. ὁ δὲ μέλλων ποματίζεσθαι
for cure useful the(-one) and about to-be-dosed
παρὰ τῶν ἰατρῶν τοῦ κενῶσαι τῶν ἐντέρων τὸ βάρος
by the physicians — to-empty of-the bowels the weight
καὶ κουφίσαι πνεύμονα καὶ ἧπαρ, διερράγη κοιλίαν, καὶ
and to-lighten lung and liver was-cut-open (in)-belly and

πᾶσαν τὴν ἔνδον πλῆσιν αὐτοῦ τῇ γῇ παραδεδώκασιν
all the inner filling his to-the earth they-have-committed
ἐντὸς τοῦ δωματίου οὗ ἔκειτο· τὸ δὲ σῶμα μύροις
within the chamber where he-lay the and body with-ointments
ἀλείψαντες καὶ σινδόνι εἰλήσαντες κατέθηκαν ἐπὶ στρωμνῆς
having-anointed and in-linen having-wrapped laid(-it) on (a)-bed
ὡς ἀσθενῆ ζῶντα. ταῦτα οὖν πάντα ἐπράττοντο παρὰ
as (a)-sick living(-man) these(-things) then all were-done by
τῶν δύο βεζιρίδων καὶ τῶν παίδων τοῦ παλατίου, οἳ οὐκ
the two viziers and the pages of-the palace who not
ἐξήρχοντο οὔτε ἐκοινολογοῦντο μετά τινος. ὁ σκοπὸς οὖν
went-out nor conversed with anyone the aim then
τοιόσδε· εἰ μάθωσι τὸν θάνατον τοῦ ἀρχηγοῦ τὰ πέριξ
(was)-this if should-learn the death of-the leader the surrounding
ἔθνη, Ῥωμαῖοι Σέρβοι Γενουῖται Βένετοι, ἐν τῇ ἀνατολῇ
nations Romans Serbs Genoese Venetians in the east
ὁ Καραμάν, οὐ δυνήσεται κατελθεῖν ἐκ τῶν ὁρίων
— Karaman not will-be-able to-come-down from the bounds
Περσίας ὁ κληρονόμος Μοράτ, καὶ γενήσεται θόρυβος ἐν
of-Persia the heir Murad and there-will-be uproar in
τῇ ἀρχῇ καὶ στάσις ἐν τῷ στρατῷ, καὶ τὰ τῆς ἑῴας
the rule and sedition in the army and the(-places) of-the east
πάντα ἀφειδῶς ὁ Καραμὰν λεηλατήσει, τὰ δὲ τῆς
all unsparingly — Karaman will-plunder the(-places) and —
Θράκης οἱ Χριστιανοί, καὶ ἔσονται Τοῦρκοι δυστυχοῦντες
of-Thrace the Christians and will-be Turks faring-ill
καὶ Ῥωμαῖοι τοῖς εὐτυχήμασι θάλλοντες.
and Romans in-the successes flourishing

Hearing in Amaseia of his father's death, Murad bids the viziers bring the body to Prousa, and the vizier Bayezid tells the council how the house of Osman has made the Christians tributary. Mehmed is buried and Murad proclaimed. When Manuel demands the two boys his father bequeathed him, threatening otherwise to raise up Mustafa, Murad refuses, and Manuel sends Demetrios Laskaris Leontares with ten triremes to bring Mustafa from Lemnos and make him ruler of Thrace. Doukas describes the Turkish raid, the akın, and the janissaries, young Christian captives bought for the ruler, circumcised, and made his slaves, who serve whichever Ottoman holds the throne.

Τούτων οὖν οὕτως ἐχόντων, καὶ διὰ ταχυδρόμου τινὸς
these then thus being and through (a)-courier certain
τὸν θάνατον τοῦ πατρὸς τῷ Μορὰτ ἀπαγγείλαντες, ἐν
the death of-the father — to-Murad having-reported in
Ἀμασείᾳ τότε διάγοντος, μετὰ παρέλευσιν τεσσαράκοντα
Amaseia then staying after (the)-passing of-forty
ἡμερῶν, καὶ ὃν ἔστειλαν ἄγγελον ἔφθασε μηνύων αὐτοῖς
days also whom they-sent (a)-messenger arrived announcing to-them
τὴν ἔλευσιν Μοράτ, καὶ ὡς κατῆλθεν ἐγγύς που
the coming of-Murad and how he-came-down near somewhere
Προύσης ἐν κώμῃ τινὶ καλουμένῃ Μελαίνα. καὶ γραφὰς
Prousa to (a)-village certain called Melaina and letters
αὐτοῖς ἐνεχείρισεν τοῦ Μορὰτ δηλούσας τὴν αὐτοῦ ἔλευσιν
to-them handed — of-Murad showing the his coming
ἐν τῇ Προύσῃ, καὶ ὁριζούσας τῷ Παγιαζὴτ ὅπως λαβὼν
into — Prousa and directing — Bayezid that having-taken
τὸ πτῶμα τοῦ πατρὸς αὐτοῦ σὺν πάσῃ τῇ γερουσίᾳ
the corpse of-the father his with all the council
ἐπανήκῃ ἐν Προύσῃ, ἵνα καὶ τὸν πατέρα θάψωσι
he-should-return to Prousa that both the father they-may-bury

καὶ αὐτὸν ἀρχηγὸν ἀναγορεύσωσι. τότε ὁ Παγιαζὴτ
and him leader they-may-proclaim then — Bayezid
μεθ' ὅσης ἡδονῆς καὶ χαρᾶς δεξάμενος τὰ γράμματα,
with what pleasure and joy having-received the letters
τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος σὺν πᾶσι τοῖς
on-the morrow having-sat on the tribunal with all the
σατράπαις καὶ μεγιστᾶσιν καὶ μέρους οὐκ ὀλίγου τῆς
satraps and magnates and (a)-part not small of-the
πόλεως ἤρξατο δημηγορεῖν τοιάδε· „ὑμᾶς, ὦ ἄνδρες, οὐ
city began to-harangue thus you O men not
χρὴ λέγειν καὶ δημηγορεῖν ἐκ ποίας εἰς ποίαν τύχην
need(-I) to-tell and to-declaim from what to what fortune
ὑψώθημεν συνευδοκοῦντος θεοῦ διὰ παρακλήσεως τοῦ
we-were-raised consenting God through (the)-intercession of-the
προφήτου. οἴδατε γὰρ ἀκριβῶς οἱ μὲν αὐτοψί, οἱ
prophet you-know for precisely some indeed with-own-eyes others
δὲ παρὰ τῶν γονέων ἐνωτισθέντες, ὡς οὐκ ἔστιν οὔπω
and from the parents having-heard that not it-is yet
ἑξακοστὸν ἢ πλέον τι ἀφ' οὗ τὸν πορθμὸν
(the)-sixtieth or more somewhat since which(-time) the strait
διαβάντες οἱ τοῦ Ὀθμὰν ἔτος τὴν Θρᾴκην πᾶσαν
having-crossed the(-men) — of-Osman (the)-year — Thrace all
ἐκράτησαν καὶ τὴν βασιλείαν Ῥωμαίων καὶ Σέρβων
seized and the empire of-(the)-Romans and of-Serbs
ὑποτελῆ καὶ ὑπόφορον ἔδειξαν, ἀλλὰ καὶ Βλάχους ὑπὲρ
tributary and subject-to-tax made but also Vlachs beyond
τὸν Δάνουβιν καὶ Οὔννους καὶ μυριάριθμον γένος Ἀλβανοὺς
the Danube and Huns and numberless race Albanians
καὶ Βουλγάρους πάντας σχεδὸν εἰπεῖν τοσοῦτον εἰς τέλος
and Bulgarians all nearly to-say so-much to (the)-end
αἰχμαλωτίζοντες ἐταπείνωσαν, ὡς καὶ τὰ δημόσια αὐτῶν
enslaving humbled that even the public their

τέλη μὴ ἐξισχύειν τοὺς φόρους τοὺς ἐτησίους τοὺς
revenues not to-suffice the tributes the yearly the(-ones)
διδομένους ἡμῖν ἐξαρκεῖν, ἀλλὰ καὶ τὰς θυγατέρας καὶ τοὺς
given to-us to-meet but also the daughters and the
υἱοὺς αὐτῶν ἐξαποστέλλειν πρὸς τοὺς ἡμετέρους ἀρχηγοὺς
sons their to-send-out to the our leaders
δουλοπρεπῶς, ἔλεον ζητοῦντες καὶ οἶκτος, ἀνακωχὴν
slavishly mercy seeking and pity respite
δεινῶν καὶ εἰρήνην παρ' ἡμῶν. ἀλλὰ καὶ ὅσον
from-terrors and peace from us but also as-much-as(-was)
ἐγκρατὲς καὶ περὶ τὴν ἡγεμονίαν ταύτην ἀξιωματικώτερον,
strong and in the dominion this more-worthy-of-rank
σοφῶς καὶ ἐπιστημόνως συλλέξαντες ἐκ πασῶν τῶν
wisely and skillfully having-collected from all the
γενεῶν, καὶ ταῦτα τὸ πλέον κακοτυχὲς καὶ ἀγροτικὸν καὶ
races and that(-too) the most-part ill-fated and rustic and
θεὸν ἕνα μὴ σέβοντες τὸν ὃν ὁ προφήτης ἐκήρυξεν,
God one not worshiping the(-one) whom the prophet proclaimed
καὶ θεοσεβεῖς καὶ εὐτυχεῖς ἀξιωματικούς τε καὶ λαμπροὺς
both God-fearing and fortunate men-of-rank both and brilliant
ἡγεμόνας ἀπέδειξαν· ἐξ ὧν κἀγὼ καὶ τὸ πλεῖστον μέρος
rulers made of whom I-too and the most part
τῶν ἀκουόντων ἃ λέγω τυγχάνομεν. δεῖ τοίνυν μὴ
of-the(-ones) hearing what I-say happen(-to-be) (one)-must therefore not
ῥαθυμεῖν μηδὲ ὀκνεῖν, ἀλλὰ νήφειν καὶ ἐγρηγορεῖν, καὶ ὡς
to-be-slack nor to-shrink but to-be-sober and to-be-watchful and as
υἱὸς γνήσιος τοῦ Ὀθμὰν ἀφ' ἡμῶν ὁ καθεὶς ἀγωνίζεσθαι,
(a)-son true — of-Osman of us the each to-strive
ἵνα μὴ τὴν πατρικὴν κληρονομίαν ἀμελήσαντες φθείρωμεν.
that not the paternal inheritance having-neglected we-may-ruin

καὶ γὰρ καὶ πατὴρ καὶ δεσπότης εὐεργέτης τε καὶ δοτὴρ
and for both father and master benefactor both and giver
ὁ αὐτὸς εἷς ἐστὶν ὁ Μεχεμὲτ καὶ ὁ αὐτοῦ διάδοχος
the same one is — Mehmed and the his successor
Μορὰτ ὁ πρῶτος καὶ ποθεινότατος τῶν υἱῶν αὐτοῦ,
Murad the first and most-beloved of-the sons his
ὃς καὶ ἐν τῷ θρόνῳ τοῦ πατρὸς αὐτοῦ ἐκάθισεν ἐν τῇ
who also on the throne of-the father his sat in the
μεγαλοπόλει Προύσῃ νυνί· ὁ δὲ πατὴρ αὐτοῦ καὶ ἡμέτερος
great-city Prousa now the and father his and our
δεσπότης ἀπέδωκε τὸ κοινὸν χρέος." καὶ ταῦτα εἰπὼν
master paid the common debt and these(-things) having-said
ἐκόψατο κοπετὸν μέγαν μετ' οἰμωγῆς καὶ δακρύων,
he-beat(-his-breast-in) lamentation great with wailing and tears
καὶ ἅμα πάντες οἱ μεγιστᾶνες καὶ οἱ ῥαβδοῦχοι μιᾷ
and together all the magnates and the mace-bearers with-one
φωνῇ ἀλαλάξαντες μετὰ θορύβου καὶ κρότου πολλοῦ γοερῶς
voice having-raised-a-cry with uproar and din much mournfully
ἔκλαιον. τότε ὁ Παγιαζὴτ σὺν τῷ Ἰπραΐμ βαστάσαντες
wept then — Bayezid with — Ibrahim having-carried
τὸ πτῶμα ἔθηκαν ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ ἱκανῶς
the corpse laid(-it) in the court of-the palace and sufficiently
θρηνήσαντες ἐκέλευσαν τῇ ἐπιούσῃ τὰ στρατεύματα τῆς
having-lamented ordered on-the next(-day) the armies of-the
ἕω πορεύεσθαι πρὸς Καλλιούπολιν, οἱ δὲ μεγιστᾶνες σὺν
east to-march to Gallipoli the and magnates with
τῷ Παγιαζὴτ βάδην κατόπισθεν σὺν τῷ νεκρῷ. καὶ
— Bayezid at-a-walk behind with the dead(-man) and
διαβάντες τὸν πορθμὸν ἔφερον αὐτὸν ἐν Προύσῃ καὶ
having-crossed the strait brought him to Prousa and
κατέθεντο ἐν τῷ παρ' αὐτοῦ δομηθέντι βωμῷ, πένθος
laid(-him) in the(-one) by him built shrine mourning

ποιήσαντες ὀκταήμερον. τὰ μνημόσυνα δέ, καθὼς ἔθος
having-made eight-day the memorials and as (the)-custom
αὐτοῖς ἐστι, ποιήσαντες καὶ τὸ πένθος ἀποβάλλοντες
to-them is having-made and the mourning putting-off
τὸν Μουρὰτ ἀρχηγὸν ἀνηγόρευσαν· καὶ τὰ εἰκότα
— Murad (as)-leader proclaimed and the(-things) fitting
ἑορτάσαντες, καὶ φιλοτιμίας οὐκ ὀλίγας καὶ εὐεργεσίας τοῖς
having-celebrated and bounties not few and benefactions to-the
ἄρχουσιν ἀμείψας, καὶ αὐτοὶ σὺν δώροις τὴν προσκύνησιν
lords having-repaid and they with gifts the obeisance
ἕκαστος ἀποδεδωκότες, περὶ τῆς ἡγεμονίας ἐφρόντιζον. καὶ
each having-rendered about the dominion they-took-thought and
δὴ πρέσβεις ἑτοίμαζον πρὸς τὸν Καραμὰν καὶ πρὸς τὸν
indeed envoys prepared to — Karaman and to the
βασιλέα Ῥωμαίων μηνύοντες τὸν θάνατον Μαχομὲτ καὶ
emperor of-(the)-Romans announcing the death of-Mehmed and
τὴν ἀναγόρευσιν Μοράτ, καὶ πίστεις ἀνανεοῦντες εἰρηνικάς,
the proclamation of-Murad and pledges renewing peaceful
ὡς ἔθος τοῖς νέοις ἀρχηγοῖς καὶ ἡγεμόσι. καὶ γὰρ
as(-is) (the)-custom for-the new leaders and rulers and for
ἐβούλοντο τὰ τῆς ἕω προοικοδομῆσαι καὶ ἀσφαλίσαι,
they-wished the(-affairs) of-the east to-build-up-first and to-secure
ὡς χρή, διὰ συνθηκῶν καὶ ὅρκων μετὰ τοῦ Καραμάν,
as (is)-right through treaties and oaths with — Karaman
καὶ τότε τὰ τῆς Θρᾴκης σκέψασθαι περάσαντες
and then the(-affairs) — of-Thrace to-consider having-crossed
τὸν πορθμόν. ὁ δὲ βασιλεὺς Μανουὴλ προαρπάσας τὸν
the strait the but emperor Manuel having-seized-first the
καιρόν, στέλλει πρὸς αὐτὸν πρέσβεις τὸν Παλαιολόγον
moment sends to him (as)-envoys — Palaiologos
Λαχυνὴν καὶ Θεολόγον Κόρακα, ὡς δῆθεν παραμυθῶν
Lachanes and Theologos Korax as supposedly consoling

καὶ τῆς ἀρχῆς τὰ εἰσόδια συγχαιρόμενος, πρὸς τούτοις
and of-the rule the entry congratulating besides these
ἀναμιμνήσκοντες καὶ τὴν τοῦ πατρὸς αὐτοῦ ὑστεραίαν
reminding also the of-the father his last
βούλησιν, αἰτοῦντες τὰ παιδία δοθῆναι τῷ βασιλεῖ, εἴπερ
will asking the children to-be-given to-the emperor if-indeed
βούλονται ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ, καθὼς καὶ μετὰ τοῦ
they-wish(-to-be) in concord and love as also with the
πατρὸς ἦσαν. εἰ δ' οὐ βούλονται διδόναι καὶ τοῖς
father they-were if but not they-wish to-give(-them) and to-the
πατρικοῖς θεσμοῖς μὴ προσήκειν, αὐτὸς ἤγουν ὁ βασιλεὺς
paternal ordinances not to-conform he that-is the emperor
ἔχει τὸν ἔφεδρον, καὶ ὡς ἐν ὀλίγῳ καταστήσει τοῦτον
has the reserve and as in (a)-little will-establish him
ἄρχοντα Μακεδονίας καὶ Χερρονήσου καὶ πάσης Θρᾴκης,
ruler of-Macedonia and (the)-Chersonese and all Thrace
μετ' οὐ πολὺ δὲ καὶ Ἀσίας καὶ πάσης ἄλλης ἀνατολῆς.
after not long and also of-Asia and all other east
ἐσήμαινε δὲ τῷ προδηλωθέντι Μουσταφᾷ. ὁ δὲ Παγιαζὴτ
he-meant and by-the aforementioned Mustafa — and Bayezid
ὡς ἐκ προσώπου τοῦ νέου ἀρχηγοῦ Μουρὰτ ἔδωκε πρὸς
as from (the)-person of-the new leader Murad gave to
τοὺς πρέσβεις ἀπόκρισιν, λέγων ὡς οὐκ ἔστι καλὸν καὶ
the envoys (an)-answer saying that not it-is good and
τοῖς τοῦ προφήτου θεσπίσμασι συνᾷδον Μουσουλμάνων
with-the of-the prophet decrees in-accord of-Muslims
παῖδας τρέφεσθαι παρὰ καβουρίδων καὶ παιδαγωγεῖσθαι,
children to-be-raised by infidels and to-be-tutored
τουτέστιν εὐσεβῶν παῖδας παρ' ἀπίστων ἐπιτροπεύεσθαι.
that-is of-pious(-men) children by unbelievers to-be-under-guardianship
„ἀλλ' εἰ θέλει ὁ βασιλεύς, ἐχέτω τὴν ἡμετέραν ἀγάπην,
but if wishes the emperor let-him-have the our love

καὶ μενέτω κατὰ τὰς πρώτας συνθήκας φίλος καὶ
and let-him-remain according-to the first treaties friend and
πατὴρ τῶν ὀρφανῶν τούτων πάντων ἐκτὸς ἄλλης
father of-the orphans these all apart-from other
ἐπιτροπικῆς διαθέσεως. ἕξομεν δὲ καὶ ἡμεῖς τὴν αὐτοῦ
guardian's arrangement we-shall-have and also we the his
φιλίαν ὡς ἕρμαιόν τι καὶ καθολικὸν ἐπισφράγισμα,
friendship as (a)-godsend some and general seal
τηροῦντες μὴ ἐπεμβαίνειν τι τῶν ἀπαισίων μηδὲ ὑπὲρ
keeping not to-intrude anything of-the ill-omened nor beyond
τὰ ἐσκαμμένα πηδᾶν τις ἀφ' ἡμῶν· ἀλλ' ἐν μέσῳ
the dug(-lines) to-leap anyone of us but in (the)-midst
ἡμῶν καὶ ὑμῶν ἔστωσαν ὅρκοι καθάπερ σιδηροῦς τοῖχος
of-us and of-you let-be oaths like (an)-iron wall
καὶ ἀσφαλὲς περίφραγμα. τὸ δὲ αἰτεῖν τέκνα καὶ ἔχειν καὶ
and (a)-secure fence the but to-ask children and to-have and
ἐπιτροπεύειν, ἀδύνατόν ἐστιν αἰτοῦντι συντίθεσθαι.
to-be-guardian impossible it-is with-(the)-one-asking to-agree
τὸ δὲ δοῦναι μᾶλλον ἀδυνατώτερον." τούτοις τοῖς λόγοις
the and to-give rather more-impossible with-these the words
ἀποπεμφθέντες οἱ τοῦ βασιλέως πρέσβεις, καὶ πρὸς τὸν
having-been-sent-off the of-the emperor envoys and to the
βασιλέα πάντα ἀναλέξαντες, ἔδοξε τὰ ῥήματα δείγματα.
emperor all having-recounted seemed the (obscure) proofs
καὶ δὴ τὴν ψυχὴν καμών, καὶ εἰς ἀνάμνησιν
and indeed in-the soul having-grown-weary and into remembrance
ἐλθὼν τῶν ῥημάτων ὧν συνετάξατο τῷ Μουσταφᾷ
having-come of-the words which he-had-arranged with-the Mustafa
ἄρτι ἐν τῇ Λήμνῳ νήσῳ διάγοντι ἐξ ὅτου παρὰ
now in the Lemnos island staying from (the-time)-when by
τοῦ αὐτοῦ βασιλέως ἐπέμφθη ἐξόριστος, ὡς ὁ λόγος
the same emperor he-was-sent (into)-exile as the account

φθάσας ἐδήλωσε, μετακαλεῖται Δημήτριον Λάσκαριν τὸν
having-earlier showed summons Demetrios Laskaris the
Λεοντάριον, ἄνδρα καὶ ὡς χρὴ εἰπεῖν στρατηγὸν γενναῖον,
Leontares (a)-man and as (is)-right to-say (a)-general noble
εὐδοκιμήσαντα ἔν τε Λακεδαιμονίᾳ καὶ Θετταλίᾳ τὸ
having-distinguished-himself in both Lacedaemon and Thessaly the
πρῶτον ζῶντος τοῦ ἐν αὐτῇ βασιλεύσαντος Ἰωάννου
first (while)-living the(-one) in it having-reigned John
τοῦ Παλαιολόγου ἀνεψιοῦ τοῦ αὐτοκράτορος· καὶ γὰρ ὁ
the Palaiologos nephew of-the autocrat and for —
Δημήτριος οὗτος εἶχε τὰ πρῶτα τῶν τιμῶν παρ᾽ αὐτῷ.
Demetrios this had the first of-the honors with him
θανόντος δ᾽ αὐτοῦ πέμπει τὸν τρίτον τῶν υἱέων αὐτοῦ
having-died and he he-sends the third of-the sons his
στεφανώσας δεσπότην ἐν Θετταλίᾳ· τὸν δὲ Λεοντάριον
having-crowned(-him) (as)-despot in Thessaly — and Leontares
μεταπέμψας ἐκεῖθεν εἶχεν ἐν Κωνσταντίνου πλησίον
having-summoned from-there he-kept(-him) in Constantine's(-city) near
αὐτοῦ ὡς ἄνδρα συνετὸν καὶ περὶ τὰ στρατιωτικὰ δόκιμον.
him as (a)-man intelligent and in the military(-arts) proven
καὶ γὰρ ηὐτύχει ὁ βασιλεὺς Μανουὴλ ἐν ἓξ παισὶν
and for was-blessed the emperor Manuel with six sons
ἄρρεσιν, ὧν ὁ πρῶτος ἦν Ἰωάννης, ὃς καὶ στεφθεὶς
male of-whom the first was John who also having-been-crowned
παρὰ τοῦ πατρὸς αὐτοῦ βασιλεὺς Ῥωμαίων ἀνηγορεύθη·
by the father his emperor of-(the)-Romans was-proclaimed
ὁ δεύτερος Θεόδωρος, ὃν καὶ δεσπότην Λακεδαιμονίας
the second Theodore whom also (as)-despot of-Lacedaemon
κατέστησεν· ὁ τρίτος Ἀνδρόνικος, ὃς καὶ Θετταλίας
he-established the third Andronikos who also of-Thessaly
δεσπότης ἐγένετο· ὁ τέταρτος Κωνσταντῖνος, ὃς καὶ τὰ
despot became the fourth Constantine who also the

Ποντικὰ μέρη τὰ πρὸς Χαζαρίαν ἐκληρώσατο· πέμπτος
Pontic parts the(-ones) toward Khazaria obtained fifth
δὲ Δημήτριος καὶ ἕκτος Θωμᾶς, οἳ καὶ σὺν τῷ πατρὶ
and Demetrios and sixth Thomas who also with the father
διῆγον νήπια τυγχάνοντες. τότε οὖν χρείας κατεπειγούσης
lived infants being then then (the)-need pressing
τριήρεις δέκα, ὡς χρή, ἐκ τῆς Κωνσταντίνου τῷ
triremes ten as (was)-needful from the(-city) of-Constantine —
Δημητρίῳ τῷ Λασκάρι παραδοὺς ἔπεμψεν ἐν τῇ νήσῳ
to-Demetrios the Laskaris having-handed-over he-sent(-him) to the island
Λήμνῳ, προστάξας αὐτὸν λαβεῖν τὸν ἐξόριστον Μουσταφᾶν
Lemnos having-ordered him to-take the exiled Mustafa
σὺν τῷ πολλάκις προρρηθέντι Τζινεήτ, καὶ ἐξαγαγεῖν
with the often aforesaid Cüneyd and to-bring-out
αὐτοὺς ἐν Χερρονήσῳ σὺν τῇ δυνάμει τῶν τριήρεων.
them into (the)-Chersonese with the force of-the triremes
καὶ τὸν Μουσταφᾶν ἀρχηγὸν καταστήσει Θρᾴκης ὡς
and — Mustafa leader he-will-establish of-Thrace as
υἱὸν ὄντα φυσικὸν τοῦ προαπερχομένου Παγιαζὴτ καὶ ὡς
(a)-son being natural of-the departed Bayezid and as
καθολικὸν κληρονόμον τῶν πατρικῶν αὐτοῦ πραγμάτων
general heir of-the paternal his affairs
τόπων καὶ ἐπαρχιῶν· ὃ δὴ καὶ γέγονεν. καὶ γὰρ
places and provinces which indeed also happened and for
ἔθος ἦν ἀρχαῖον τοῖς Τούρκοις τὸ μὴ πολυπραγμονεῖν
(a)-custom was ancient among-the Turks the not to-inquire
τίνος οὗτος καὶ τίνος ἐκεῖνος παῖς, πλὴν καὶ μόνον εἰ
whose this(-one) and whose that(-one) son(-is) but also only if
τοῦ Ὀθμὰν ἀπόγονόν ἐστι. εἰ δὲ οὐκ ἔστι τῆς αὐτῆς
— of-Osman descendant he-is if but not he-is of-the same
ῥίζης, ἀδύνατον ὑπείκειν καὶ ὡς ἀρχηγὸν τιμᾶν.
root impossible(-is-it) to-submit and as leader to-honor

Ἄρξομαι δὲ ἐντεῦθεν τὴν ἐκ πάλαι γενομένην παρὰ
I-will-begin and from-here the from of-old having-arisen among
τῶν Τούρκων ἐπίνοιαν διηγήσασθαι, ἣ καὶ ἄχρι τοῦ
the Turks device to-narrate which also until the
νῦν σώζεται, καὶ δι᾽ αὐτῆς ἀνδρείως τῶν Χριστιανῶν
now is-kept and through it bravely over-the Christians
ἐφίστανται καὶ τροπαῖα κατ᾽ αὐτῶν διεγείρουσι καὶ ἐς
they-stand and trophies against them raise and for
ἀεὶ τὴν νικῶσαν ὡς οὐκ ἄλλο γένος κεκλήρωνται. οἱ
ever the victory as not other race have-won the
Τοῦρκοι κατάραντες ἐκ Περσίδος καὶ τὰ τῆς Ἀρμενίας
Turks having-come-down from Persia and the — of-Armenia
ὅρια διαβάντες, καὶ ἀρξάμενοι λεηλατεῖν τὰ τῆς ἄνω
bounds having-crossed and having-begun to-plunder the of-the upper
Καππαδοκίας μέρη καὶ τῆς Λυκαονίας, ἐκήρυττον ὡς
Cappadocia parts and — of-Lycaonia proclaimed as
ἐκ προσώπου τοῦ ἀρχηγοῦ διὰ τοῦ κήρυκος, ὡς εἴ
from (the)-person of-the leader through the herald that if
τις βούλοιτο εἰς ἐπιδρομὴν ἀπίστων ἐλθεῖν, ἐλθέτω. ἦν
anyone should-wish for (a)-raid on-unbelievers to-come let-him-come was
γὰρ τὸ ἔθνος τῶν Τούρκων, ὡς οὐκ ἄλλο, φιλάρπαγον
for the nation of-the Turks as not other rapacious
καὶ φιλάδικον. πρὸς ἄλληλα γὰρ ἦν· εἰ δὲ κατὰ
and unjust toward one-another for (so)-it-was if but against
Χριστιανῶν, τί χρὴ καὶ λέγειν; καὶ εἰ μόνον τὴν τοῦ
Christians what need even to-say and if only the of-the
κήρυκος φωνὴν ἀκούσωσι ὡς πρὸς ἐπιδρομήν, ὃ καλεῖται
herald voice they-hear as for (a)-raid which is-called
κατὰ τὴν αὐτῶν γλῶτταν ἄκκην, τότε πάντες χύδην καὶ
in the their tongue akın then all pell-mell and
ὡς ποταμὸς ῥέων, αὐτόκλητοι, ἄνευ βαλαντίου καὶ πήρας
like (a)-river flowing self-summoned without purse and wallet

οἱ πλεῖστοι καὶ αἰχμῶν καὶ ἀκινακῶν, ἕτεροι πεζοὶ τὴν
the most and spears and daggers others on-foot the
πορείαν, μυριαρίθμους παρεμβολὰς στοιχήσαντες θέουσιν,
march countless camps having-ranged run
οὐκ ἄλλο οἱ πλείονες ἀλλ' ἢ ῥόπαλον ταῖς ἑκάστου χερσί.
not other the most but than (a)-club in-the each's hands
καὶ κατὰ τῶν Χριστιανῶν ὁρμῶντες ὡς πρόβατα τούτους
and against the Christians rushing like sheep them
ἐζώγρων, ἀρρήτοις θεοῦ κρίμασι τοῦτο καθ' ἡμῶν τὸ
they-captured-alive by-unspeakable God judgments this against us the
ψήφισμα δεδωκότος ἕνεκα πλήθους ἁμαρτιῶν τοῦ
decree having-given for-the-sake of-(the)-multitude of-sins of-the
ἡμετέρου γένους. καὶ ἡ ἐπιδρομὴ ἡ συνεχὴς κρατοῦσα
our race and the raid the continual prevailing
ἄχρι τοῦ νῦν, οὐ μόνον τὰ ἀνατολικὰ θέματα ἀλλὰ καὶ
until the now not only the eastern themes but also
τὰ τῆς Θρᾴκης κρατήσαντες, ἀπὸ Χερρονήσου μέχρι
the(-places) — of-Thrace having-seized from (the)-Chersonese up-to
τοῦ Ἴστρου πάσας τὰς ἐπαρχίας καθυποτάξαντες. τὸ
the Danube all the provinces having-subjected the
καθ' ἑκάστην μὴ ἀμελοῦντες, ἀλλὰ σήμερον πρὸς εἰρήνην
by each(-day) not neglecting but today for peace
μετασχηματιζόμενοι τοῖς Σέρβοις, αὔριον τὰ τῆς
putting-on-a-show toward-the Serbs tomorrow the(-places) —
Ἀττικῆς καὶ Λακεδαιμονίας Ἀχαΐας καὶ Ἑλλάδος ἐληΐζοντο.
of-Attica and Lacedaemon Achaea and Hellas they-plundered
μετὰ τὴν αὔριον δὲ τῶν Ῥωμαίων, ὡς ἐδόκει, τὴν εἰρήνην
after the morrow and the Romans as it-seemed the peace
ἐπισπώντων, θρῆνος καὶ οὐαὶ τοῖς Σέρβοις ἐπέρρεεν, εἶτα
drawing-on lament and woe on-the Serbs flowed-down then
Βουλγάροις, μετέπειτα Ἀλβανίταις. καὶ καθεξῆς λυμαίνοντες
on-Bulgarians afterward on-Albanians and in-turn ravaging

ἅπαν ἄγριόν τε καὶ ἥμερον ἔθνος οἱ βάρβαροι οὐκ
every wild both and tame nation the barbarians not
ἐπαύοντο, καὶ οὐ παύονται ἄχρι τὴν σήμερον, ὡς ἐμοὶ
ceased and not cease until the today as to-me
δοκεῖ, καὶ οὐ παύσονται ἄχρις ἂν ἡμεῖς τὸν τοῦ θεοῦ φόβον
it-seems and not will-cease until — we the — of-God fear
ἐν νῷ λάβωμεν. καὶ γὰρ εἰς τὸ θεῖον ἡμεῖς ἀσεβοῦντες,
into mind take and for against the divine we being-impious
βάπτισμα ἔχοντες εἰς ὄνομα πατρὸς υἱοῦ καὶ ἁγίου
baptism having into (the)-name of-(the)-father son and holy
πνεύματος, τῆς μιᾶς θεότητος, καὶ τούτου καταφρονοῦντες,
spirit of-the one godhead and this despising
ἀθετοῦμεν τὰς ἐντολὰς τοῦ μόνου ἀληθινοῦ θεοῦ.
we-set-aside the commandments of-the only true God
τοῖς ἀσεβέσι παρεδόθημεν, καὶ δικαίως ὑπ᾽ αὐτῶν
to-the impious we-were-handed-over and justly by them
κολαζόμεθα, τοῦ θεοῦ τοῦτο καλῶς καὶ δικαίως ὁρίσαντος.
we-are-punished — God this well and justly having-decreed
καὶ οὐ μόνον τὰ πρὸ τοῦ Ἴστρου μυριάριθμα ἔθνη καὶ
and not only the before the Danube countless nations and
πάμπολλα, ἀλλὰ καὶ μετὰ Ἴστρον Βλάχους ἐς τέλος
very-many but also beyond (the)-Danube Vlachs to (the)-end
ταπεινώσαντες, Οὔννους αὐτοὺς τὴν ἀμέτρητον πληθὺν
having-humbled Huns themselves the measureless multitude
εὐδιάμετρον κατεργάσαντες. καὶ οὐ μόνον οἱ γειτνιῶντες
easily-measured having-made and not only the neighboring
Τοῦρκοι κατατρέχουσιν, οἱ τῆς Θρᾴκης, οἱ τῆς
Turks overrun the(-ones) — of-Thrace the(-ones) —
Ἀττικῆς, οἱ τοῦ Ἰλλυρικοῦ, οἱ τοῦ Αἱμιμόντου καὶ
of-Attica the(-ones) — of-Illyricum the(-ones) of-the Haemus and
οἱ γειτνιῶντες Σερβίαν (καὶ γάρ, ὅσον τὸ κατ᾽
the(-ones) neighboring Serbia and for as-far-as the(-thing) concerning

ἐμέ, πολὺ πλέον τυγχάνει τὸ γένος τοῦτο τὴν σήμερον,
me(-goes) much more is the race this the today
ἀπὸ πορθμοῦ Καλλιουπόλεως ἄχρι τοῦ Ἴστρου, παρ᾽
from (the)-strait of-Gallipoli up-to the Danube than
ὅσον ἐν τοῖς τῆς ἀνατολῆς μέρεσι τὸ κατοικοῦν, λέγω
as-much-as in the of-the east parts the(-one) dwelling I-mean
τὸ ὑπήκοον τοῦ ἀρχηγοῦ τοῦ ἐκ τῶν Ὀθμάν), ἀλλὰ
the subjects of-the leader the(-one) from the Osman's(-line) but
καὶ οἱ ἐκ τῆς Ἀσιάτιδος γῆς καὶ οἱ τὴν Φρυγίαν
also the(-ones) from the Asian land and the(-ones) — Phrygia
οἰκοῦντες, καὶ τί λέγω; Λυκάονες οἱ ἐν τοῖς Ἀρμενίων
inhabiting and what do-I-say Lycaonians the(-ones) in the of-Armenians
ὁρίοις κείμενοι, Ἀμασηνοί, Καππαδόκαι, Κίλικες, Λύκιοι,
bounds lying Amaseians Cappadocians Cilicians Lycians
Κᾶρες ἄχρι Δανούβιος πεζῇ πορείαν ποιοῦντες ἕνεκα τοῦ
Carians up-to (the)-Danube on-foot march making for-the-sake —
κλέψαι Χριστιανόν. καὶ γὰρ εἰ καὶ μυριάκις μύριοι
to-steal (a)-Christian and for if even ten-thousand-times ten-thousand
ἐπέλθωσι τῇ τυχούσῃ τῶν ἐπαρχιῶν, ἀλλὰ ληστρικῶς
should-come-upon the chance(-one) of-the provinces yet piratically
ἐπεμβαίνουσι καὶ ἁρπάζοντες φεύγουσι. τοῦτο τὴν Θρᾴκην
they-intrude and snatching flee this — Thrace
πᾶσαν ἄχρι Δαλματίας ἔρημον ἀπειργάσατο· τοῦτο
all up-to Dalmatia desolate has-made this
τοὺς Ἀλβανούς, γένος ὑπὲρ ἀριθμὸν ὄντα, εὐαριθμήτους
the Albanians (a)-race beyond number being easily-counted
ἐποίησεν· Βλάχους ὁμοίως, Σέρβους καὶ Ῥωμαίους εἰς
has-made Vlachs likewise Serbs and Romans to
τέλος ἠφάνισεν. τούτων οὕτως αἰχμαλωτιζομένων, τὸ
(the)-end it-has-destroyed these thus being-enslaved the
πέμπτον τῶν λαφύρων τῷ ἀρχηγῷ προσκυροῦσι κατὰ
fifth of-the spoils to-the leader they-assign according-to

τὴν αὐτῶν νεαράν, καὶ ἀφοσιοῦσι τοῦτο τὸ πέμπτον τῇ
the their law and dedicate this the fifth to-the
ἀρχῇ, καὶ ταῦτα τὰ κρείττονα. εἶτα καὶ οἱ τοῦ
rule and those the better(-ones) then also the(-officers) of-the
ἀρχηγοῦ καὶ τῆς ἀρχῆς ἐξισωταί, ὅπου δ' ἂν νέον καὶ
leader and of-the rule assessors wherever and — (a)-young and
εὔρωστον ἐκ τῶν αἰχμαλώτων ἴδωσι, τοῦτον δι' ἐλαχίστου
vigorous(-man) from the captives they-see him for (a)-very-small
τιμήματος ὠνήσαντες εἰσποιητὸν τῇ ἀρχῇ καὶ δοῦλον
price having-bought adopted to-the rule and (a)-slave
κατονομάζουσι. καὶ τούτους ὁ ἀρχηγὸς νεόλεκτον στρατόν,
they-name and these the leader newly-levied army
κατὰ δὲ τὴν αὐτῶν γλῶτταν γενίτζερι, καλεῖ. οὓς καὶ εἰς
in and the their tongue yeniçeri calls whom also into
τὴν αὐτοῦ δυσσέβειαν μετάγων καὶ περιτέμνων οἰκείους
the his impiety bringing-over and circumcising (his)-own
αὐτῷ κατονομάζει, δοὺς αὐτοῖς πάμπολλα δῶρα καὶ
to-him he-names(-them) having-given to-them very-many gifts and
ὀφφικίων τὰ λαμπρότατα, προνοίας οὐ τῆς τυχούσης καὶ
of-offices the most-brilliant pronoias not the ordinary and
παντοίων ἄλλων ἀγαθῶν, ὁμοτραπέζους καὶ συμπότας
every-kind-of other good(-things) table-companions and drinking-companions
ποιῶν αὐτούς, ἔχων εἰς αὐτοὺς στοργὴν ὡς πατὴρ πρὸς
making them having toward them affection as (a)-father toward
τέκνα, καὶ ταῦτα τίνας; αἰπόλεις καὶ ποιμένας βουκόλους
children and that(-too) whom goatherds and shepherds cowherds
τε καὶ χοιροβοσκούς, γεωργῶν παῖδας καὶ ἱπποφορβῶν.
both and swineherds of-farmers sons and of-horse-keepers
πρὸς γὰρ τὴν τοιαύτην διάθεσιν κἀκεῖνοι ὑπὲρ τοῦ ἀρχηγοῦ
toward for the such disposition and-they for the leader
τὴν ζωὴν αὐτῶν εἰς οὐδὲν λογίζονται· μᾶλλον ὑπὲρ τῆς
the life their at nothing reckon rather for the

δόξης ἧς ἔτυχον ἀπολαβόντες, ἵνα μὴ ἐκπέσωσι
glory which they-obtained having-received(-it) that not they-may-fall-from
ταύτης, πάσχουσιν ἐν καιρῷ πολέμου ὑπὲρ ἄνδρας, καὶ τὴν
it they-suffer in time of-war beyond men and the
νικῶσαν λαμβάνουσι. τὸ γνωριστικὸν δὲ σημείωμα τούτων
victory take the distinguishing and mark of-these(-is)
τὸ τῆς κεφαλῆς κάλυμμα, ὃ κατὰ τὴν κοινὴν γλῶτταν
the of-the head covering which in the common tongue
Ῥωμαίων ζαρκολὰν λέγουσι. καὶ γὰρ κοινῇ πάντες
of-(the)-Romans zarkolas they-call and for in-common all
Τοῦρκοι τὸ αὐτὸ χρῶνται ὡς κεφαλῆς περιβόλαιον· οἱ μὲν
Turks the same use as of-head covering the indeed
πάντες, ὅσοι ἐξ ἰδιωτῶν καὶ ἐξ εὐγενῶν τυγχάνουσι,
all as-many-as from commoners and from nobles happen(-to-be)
κοκκινοβαφὲς τοῦτο χρῶνται· ὅσοι δὲ τῶν ἀλλογενῶν
red-dyed it use as-many-as but of-the foreign-born
τῷ τῆς δουλείας ὑπέπεσον ζυγῷ, γραφέντες δοῦλοι
to-the of-the slavery fell-under yoke registered (as)-slaves
τοῦ ἀρχηγοῦ, οὗτοι λευκόχροα φοροῦσι τὰ τῆς κεφαλῆς
of-the leader these white wear the of-the head
περιβόλαια ἐκ πίλου λευκοτάτου, ἡμισφαιρὲς ὅσον χωρεῖν
coverings of felt whitest hemispherical as-much-as to-hold
κεφαλήν, ἔχον περιττεῦον ἄνωθεν τῆς κορυφῆς ὅσον καὶ
(a)-head having (a)-surplus above the crown as-much-as even
σπιθαμῆς, εἰς ὀξὺ καταλῆγον. τοῦτο τοίνυν τὸ νεόλεκτον
(a)-span to (a)-point ending this therefore the newly-levied
σύνταγμα καθ' ἕκαστον ἔτος ὑπερπεριττεῦόν ἐστι, καὶ εἰς
corps by each year superabundant is and to
τὸ ἓν ἑκατοντάκις ἓν ἀριθμεῖται· καὶ γὰρ δοῦλοι δούλους
the one hundredfold one is-counted and for slaves slaves
κτῶνται, καὶ τῶν δούλων οἱ δοῦλοι δούλους, καὶ πάντες
acquire and of-the slaves the slaves slaves(-acquire) and all

ὀνομάζονται καὶ εἰσὶ τοῦ ἀρχηγοῦ δοῦλοι. οὐκ ἔστιν ἐν
are-named and are of-the leader slaves not there-is among
αὐτοῖς οὔτε Τοῦρκος οὔτε Ἄραψ, ἀλλὰ πάντες Χριστιανῶν
them either Turk or Arab but all of-Christians
παῖδες, Ῥωμαίων Σέρβων Ἀλβανῶν Βουλγάρων Βλάχων
sons of-Romans Serbs Albanians Bulgarians Vlachs
καὶ Οὔννων, οἵτινες ἀσεβήσαντες καὶ τοῦ παρόντος τὰς
and Huns who having-become-impious and of-the present the
ἀπολαύσεις ὡς χοῖροι λαχάνων κατατρυφῶντες, παρόμοιοι
enjoyments like swine on-greens reveling like
κύνεσι λύτταν νοσοῦντες, κατὰ τῶν ὁμογενῶν ἔχθραν
dogs rabies suffering against the(-ones) of-same-race enmity
ἄσπονδον θανατηφόρον ἀεὶ φέρουσι. ὡς γὰρ ἀνωτέρω
implacable deadly ever bear as for above
εἰρήκαμεν, ὅτι ὑπήκοον μεταβάλλεται ἐξ ἄλλου εἰς ἕτερον
we-have-said that (the)-subjects change from one to another
ἀρχηγὸν εὐκόλως πλὴν ἐκ τῆς αὐτῆς ῥίζης τοῦ Ὀθμὰν
leader readily provided from the same root — of-Osman
εἶναι τὸν ἤδη καὶ τὸν νεωστὶ ἄρξαντα, καὶ οὐκ
to-be the(-one) now and the(-one) newly having-begun-to-rule and not
ἄλλοθεν. καὶ τὸ δοῦλον φῦλον, ὃ διήλθομεν τὴν
from-elsewhere also the slave tribe which we-have-gone-through (in)-the
ἱστορίαν, καὶ αὐτὸ τὴν αὐτὴν ὁρμὴν κέκτηται· ἀρκεῖ
history also it the same impulse has (it-)suffices
γὰρ εἶναι τὸν νέαρχον Ὀθμάνιον. πάντες γὰρ οἱ Ὀθμάνιοι
for to-be the new-ruler (an)-Ottoman all for the Ottomans
πάτρωνες αὐτῶν λογίζονται καὶ εἰσί, καὶ αὐτοὶ ὡς ἰδίους
patrons their are-reckoned and are and they as own
ἀπελευθέρους αὐτοὺς ἔχουσι. ἐπὰν δὲ ῥεύσῃ ἡ ἀρχὴ ἐξ
freedmen them have whenever and flows the rule from
ἄλλου εἰς ἕτερον, ἢ ἐκ πατρὸς πρὸς υἱὸν ἢ εἰς ἀδελφὸν
one to another or from father to son or to brother

ἐξ ἀδελφοῦ, τὸν ὃν ἡ τύχη καλῶς προσβλέψει, ἐκεῖ
from brother (to)-the(-one) whom the fortune well will-look-upon there
καὶ τὸ δοῦλον πιστότατα τὴν παράστασιν ἀπεργάζεται.
also the slave(-tribe) most-faithfully the service performs
ἀρξόμεθα δὲ πάλιν τὴν ἱστορίαν, ὅθεν καὶ ὁ λόγος τοῦ
we-will-begin and again the history whence also the account of-the
διηγήματος ἤρξατο.
narrative began

XXIV · MUSTAFA WINS THE WEST

Demetrios Leontares lands Mustafa and Cüneyd, both sworn to cede Gallipoli and the coasts to the emperor, at Gallipoli; Cüneyd routs the townsfolk, who then submit to Mustafa, though the fort holds out. Murad's lords, envious of the vizier Bayezid, urge Murad to send him across. Bayezid raises the Thracian army at Adrianople and, on a plain nearby, tells it that Mustafa is a commoner whom Manuel passes off as the sultan Bayezid's son; but when Mustafa appeals to the troops, both wings desert to him, and Bayezid and his brother Hamza surrender. At Cüneyd's urging Mustafa has Bayezid beheaded; Cüneyd spares Hamza. Adrianople welcomes Mustafa and the fort surrenders, but Mustafa refuses it to Leontares, calling Gallipoli the Muslims' throat, and Leontares sails home in anger.

Ὁ Δημήτριος λαβὼν τὸν Μουσταφᾶν υἱὸν ὄντα τοῦ
— *Demetrios having-taken — Mustafa son being —*
Ἰλτρήμ, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, καὶ σὺν αὐτῷ τὸν
of-Yildırım as the account having-earlier showed and with him the
προρρηθέντα πολλάκις Τζινεήτ, ὅρκοις αὐτοὺς ἀσφαλίσας
aforesaid often Cüneyd by-oaths them having-bound
πρότερον ὡς οὐκ ἀθετήσει ποτὲ τὴν βασιλικὴν βουλὴν
first that not he-will-set-aside ever the imperial will
ἀλλὰ ἀεὶ ἔσται ὑπήκοος ὡς υἱὸς πρὸς πατέρα, δοὺς

αὐτῷ τὸν υἱὸν αὐτοῦ εἰς πίστιν, καὶ συνθήκας ποιήσαντες
to-him the son his as pledge and treaties having-made
δώσειν τῷ βασιλεῖ τὴν ἐν Χερρονήσῳ Καλλιούπολιν καὶ
to-give to-the emperor — in (the)-Chersonese Gallipoli and
τὰ Ποντικὰ μέρη ἄχρις ὁρίων Βλαχίας καὶ τὰ
the Pontic parts up-to (the)-bounds of-Wallachia and the(-places)
τῆς Θεσσαλίας ἄχρι Ἐρισσοῦ καὶ ἁγίου ὄρους καὶ ἄλλα
— of-Thessaly up-to Erissos and (the)-holy mountain and other
τινὰ δύσδοτα καὶ δυσκατέργαστα δώματα. ἀσφαλίσαντες
some hard-to-give and hard-to-achieve gifts having-bound
οὖν αὐτοὺς ὅρκοις καὶ τὰ ἱστία πτερώσαντες ἐπὶ τὴν
then them by-oaths and the sails having-spread to —
Καλλιούπολιν ἔπλευσαν. καὶ δὴ καὶ οἱ τοῦ Μουρὰτ
Gallipoli sailed and indeed also the(-men) — of-Murad
ἀσφαλίσαντες ὡς ἔδει τὸ πολίχνιον, καὶ ἐν τῷ
having-secured as was-needed the little-town and into the
λιμένι τὰς σκάφας καὶ τὰς τριήρεις εἰσάξαντες, καὶ τοὺς
harbor the boats and the triremes having-brought and the
πολεμιστὰς ἐπὶ τὸν πύργον τὸν ἐν τῷ λιμένι καλῶς
fighters on the tower the(-one) in the harbor well
ἐφαρμόσαντες, ἐκάθηντο προσδεχόμενοι πόλεμον. ὁ δὲ
having-posted sat awaiting battle — and
Δημήτριος ἐξαγαγὼν τὸν Τζινεήτην μετ᾽ ὀλίγων ὧν εἶχεν
Demetrios having-landed — Cüneyd with (the)-few whom he-had
Τούρκων, καὶ Ῥωμαίων οὐκ ὀλίγον στρατόν, ἤρξατο
Turks and of-(the)-Romans not small army began
πόλεμον αἴρειν. καὶ δὴ τὸ βασμουλικὸν τῆς Καλλιουπόλεως
battle to-raise and indeed the gasmule(-force) — of-Gallipoli
καὶ τὸ δημοτικὸν κατὰ πρόσωπον μαχεσάμενοι οὐκ ἦσαν
and the townsfolk before (the)-face having-fought not were
ἀρκοῦντες εἰς ἀντίστασιν τῷ Τζινεήτ· ἀνδρεῖος γὰρ ἦν ὁ
sufficient for resistance — to-Cüneyd brave for was the

ἀνὴρ καὶ περὶ τὰ πολεμικὰ ἐμπειρότατος, ὡς οὐδεὶς τῶν
man and in the warlike(-arts) most-experienced as no-one of-the
τότε Τούρκων. τότε καὶ μὴ θέλοντες νῶτα δίδωσι καὶ
then Turks then even not wishing backs give and
εἰς φυγὴν οἱ τῆς πόλεως ἐτρέποντο. ὁ Μουσταφᾶς
to flight the(-ones) of-the city turned — Mustafa
οὖν ταῦτα ὁρῶν καὶ θάρσους πλήρης γενόμενος. σὺν
then these(-things) seeing and of-courage full having-become with
πολλῷ τῷ θράσει ἐξῆλθε καὶ αὐτὸς τῶν τριήρεων. καὶ
much the boldness came-out also he from-the triremes and
δὴ ἕως ἑσπέρας ἀρεϊκῶς πολεμήσαντες, τῇ ἑσπέρᾳ
indeed until evening martially having-fought in-the evening
πάλιν ὁ Μουσταφᾶς σὺν τῷ Δημητρίῳ ἐν τῇ βασιλικῇ
again — Mustafa with — Demetrios into the imperial
τριήρει εἰσελθόντες καὶ ἄμφω ἐν τῇ πρύμνᾳ καθίσαντες,
trireme having-gone and both on the stern having-sat
καὶ κελεύσας ἀφόβως τοὺς ἐναντίους ἀπέναντι τούτου
and having-ordered fearlessly the opponents opposite him
κατὰ πρόσωπον στάντας, πίστεις δοὺς ὡς ὀλίγους
to face having-stood pledges having-given that few
τινὰς λόγους συνάρῃ μετ᾽ αὐτῶν εἰς συμφέρον τῆς
some words he-may-exchange with them for (the)-advantage of-the
πόλεως. ἤρξατο δὲ δημηγορήσας αὐτολεξεὶ οὕτως.
city began and having-addressed(-them) in-these-very-words thus
„ὦ ἄνδρες, οἴδατε ἀκριβῶς ὅτι τοῦ Ἰλτρὴμ ὑπάρχω
O men you-know precisely that — of-Yıldırım I-am
υἱός, ὑμεῖς δὲ δοῦλοι τοῦ μου πατρός. τίνι τρόπῳ τὸ
son you and slaves of-the my father in-what way the
σέβας οὐκ ἀπονέμετε τῷ κυρίῳ ὑμῶν; οὐκ οἴδατε ὅτι
reverence not do-you-render to-the lord your not you-know that
ὁ προαυθεντεύσας ὑπῆρχεν ἐμὸς ἀδελφός; κἀκεῖνος τὸν
the(-one) having-ruled-before was my brother and-he the

ἕτερον τῶν ἀδελφῶν φονεύσας, καὶ τὴν ἡγεμονίαν ἄχρι
other of-the brothers having-murdered and the dominion until
τοῦ νῦν ἀδίκως παραλαβών, ἐμὲ φυγάδα καὶ μέχρι τοῦ
the now unjustly having-taken me (a)-fugitive and until the
νῦν ἐν χερσὶ Ῥωμαίων ἔγκλειστον ἀποκαταστήσας, νῦν
now in (the)-hands of-(the)-Romans shut-up having-made now
θεοῦ νεύσει πρός με τῆς τύχης ἱλαρῶς ἐπιβλεψάσης καὶ
of-God by-(the)-nod toward me the fortune cheerfully having-looked and
ἀπροσκόπτως προτρεχούσης εἰσάξαι με εἰς τὴν πατρικὴν
unhindered running-ahead to-bring me into the paternal
ἡγεμονίαν, ὑμεῖς ἀντωθεῖτε καὶ οὐκ ἐᾶτε προβῆναι.
dominion you push-back and not let(-me) to-advance
εἰ μὲν οὖν νεύσετε πρός με καὶ παραχωρήσητέ μοι καὶ
if indeed then you-will-incline toward me and yield to-me and
δώσετε τὴν ὁδὸν ἀπάγουσάν μοι ἐν τῇ Ἀδριανοῦ ἐν
will-give the road leading me into the(-city) of-Hadrian into
τῷ οἴκῳ τῷ πατρικῷ, ἔσεσθέ μοι ἀπὸ τοῦ νῦν οὐ δοῦλοι
the house the paternal you-will-be to-me from the now not slaves
ἀλλ' ἀδελφοί, καὶ τὴν πατρικὴν εὔνοιαν φυλάξω εἰς
but brothers and the paternal goodwill I-will-keep toward
ὑμᾶς, καὶ ὑπερεκθήσω χάρισι χάριτας καὶ ταῖς δωρεαῖς
you and I-will-heap-up on-favors favors and on-the gifts
δωρεάς. εἰ δ' ἀντισταθείητε, ἐγὼ μὲν ἐγκρατὴς γενήσομαι
gifts if but you-should-resist I indeed master will-become
τῶν πραγμάτων τῶν πατρικῶν συνεργούσης τῆς τύχης καὶ
of-the affairs the paternal working-with(-me) the fortune and
συγκοπιῶντος τοῦ ἐμοῦ πατρὸς τοῦ βασιλέως. καὶ γὰρ τῷ
toiling-with(-me) the my father the emperor and for —
Μουρὰτ οὐκ ὀρεγεθήσεται ἡ πρὸς τὰ ἑσπέρια ἀπάγουσα
to-Murad not will-be-held-out the to the west leading
ὁδός. ἐπὰν δὲ γενήσομαι κύριος τῶν ἐμῶν καὶ λάβω
road when and I-become lord of-the mine and take

καιρόν, ἐγὼ ὑμᾶς κρινῶ.” τούτων οὕτως ἐνωτισθέντων,
(my)-time I you will-judge these(-words) thus having-been-heard
αὐτόμολοι τῶν προυχόντων τινὲς ἦλθον καὶ προσεκύνουν,
deserting of-the leading(-men) some came and did-obeisance
καὶ μετ᾽ ἐκείνους ἕτεροι. πρωΐας δὲ ἐξελθὼν ἐκ
and after them others in-(the)-morning and having-come-out from
τῶν τριήρεων σὺν τῷ Τζινεήτ, ἐπιβάντες ἵπποις καὶ τὸ
the triremes with — Cüneyd having-mounted horses and the
ἐνυάλιον ἠχήσαντες ἐκ τῶν τριήρεων ὥρμησαν ὡς πρὸς
war-cry having-sounded from the triremes rushed as to
πόλεμον, σὺν τοῖς ἐνόπλοις Ῥωμαίοις τε καὶ Τούρκοις. καὶ
battle with the armed Romans both and Turks and
δὴ τὸ τοῦ δήμου πλῆθος ἅπαν, ὅσον ἔνοπλον καὶ
indeed the of-the people multitude all as-much-as(-was) armed and
ὅσον θεατρῶδες, αὐθωρὸν ἀπένειμαν τὴν προσκύνησιν,
as-much-as(-was) spectator instantly rendered the obeisance
καὶ πάντες εὐφήμουν αὐτὸν ὡς ἀρχηγὸν καὶ τοῦ Ὀθμὰν
and all acclaimed him as leader and — of-Osman
ἀπόγονον. καὶ συνέρρεον ἄχρις ἑσπέρας αἱ πέριξ κῶμαι,
descendant and flocked until evening the surrounding villages
καὶ προσκυνοῦντες εὐφήμουν. οἱ δὲ τοῦ πολιχνίου
and doing-obeisance acclaimed the(-ones) but of-the little-town
ἐντὸς οὐκ ἐνεδίδουν, ἀλλ᾽ ἀνθίσταντο λέγοντες καὶ ὑψηλῇ
within not yielded but resisted speaking and with-loud
τῇ φωνῇ εὐφημίζοντες τῷ Μουρὰτ ὡς ἀρχηγῷ αὐτῶν
the voice acclaiming — Murad as leader their
καὶ καθολικῷ δεσπότῃ, τὸν δὲ Μουσταφᾶν ὀνειδίζοντες.
and general master — but Mustafa reviling
τότε ὁ Μουσταφᾶς ἀπάρας τὰς δυνάμεις πρὸς τὸ
then — Mustafa having-set-out(-with) the forces toward the
Ἑξαμίλιον τῆς Χερρονήσου ἔξεισι, καὶ πάντες οἱ τῆς
Hexamilion of-the Chersonese goes-out and all the(-ones) of-the

Χερρονήσου καὶ τῶν ἔξω συνέθεον εὐφημοῦντες. ὁ
Chersonese and of-the(-places) outside ran-together acclaiming —
δὲ Δημήτριος ἐπολιόρκει τὸ φρούριον τῆς Καλλιουπόλεως.
and Demetrios besieged the fortress — of-Gallipoli
Ἐπαναγάγωμεν οὖν τὸν λόγον εἰς τὰ τοῦ Μουράτ,
let-us-lead-back then the account to the(-affairs) — of-Murad
δηλοποιήσων ἡμῖν πῶς καὶ τίνι τρόπῳ τὴν ἀρχὴν
going-to-make-clear to-us how and in-what way the rule
ἔσχε, καὶ πῶς τὰ τῶν Ῥωμαίων βουλεύματα εἰς κενὸν
he-held and how the of-the Romans plans to nothing
κατηντήκεσαν, καὶ ποίῳ τρόπῳ ὁ Μουσταφᾶς ἀπέδρα
had-come and in-what way — Mustafa ran-away
θανατωθείς, καὶ ὁ Τζινεὴτ πῶς αὐτὸν καταλιπὼν ἔφυγε.
having-been-put-to-death and — Cüneyd how him having-abandoned fled
Ἐπειδὴ διάγοντος ἐν τῇ Προύσῃ τοῦ Μουράτ, ὡς ὁ λόγος
since (while)-staying in — Prousa — Murad as the account
φθάσας ἐδήλωσε, καὶ τοῦ ὑπηκόου τὸ κρεῖττον καθ᾽
having-earlier showed and of-the subjects the better(-part) by
ἑκάστην συρρέοντος ἐπ᾽ αὐτὸν ὡς δῆθεν τὴν πατρικὴν
each(-day) flowing-together to him as supposedly the paternal
θανὴν παραμυθῆσαι βουλόμενοι καὶ τὸ τῆς ἀρχηγίας εἰσόδιον
death to-console wishing and the of-the leadership entry
χαιρετίζοντες, αἴφνης μήνυμα ἐκ Λαμψάκου ὡς τριήρεις
greeting suddenly (a)-message from Lampsakos that triremes
ἐν τῇ Καλλιουπόλει ὅτι πλεῖσται καὶ φωναὶ καὶ ταραχαὶ
(are)-at — Gallipoli as very-many and cries and tumults
καὶ ὀργάνων ἦχοι καὶ κτύποι ἐπάλξεων καὶ ἄλλα τινὰ σημεῖα
and of-instruments sounds and crashings of-battlements and other some signs
ἐχθρῶν ἀπαγγέλλοντες. οἱ δὲ τοῦ Μοράτ δοκιμώτατοι
of-enemies reporting the(-men) but — of-Murad most-esteemed
καὶ τῶν ὑπερεχόντων περιφανέστατοι, φθόνον τρέφοντες
and of-the eminent(-ones) most-conspicuous envy nursing

ἔκπαλαι κατὰ τοῦ Παγιαζὴτ ὡς ὑπερέχοντα πάσης τιμῆς καὶ
of-old against — Bayezid as surpassing all honor and
μεγαλαυχοῦντα καὶ εἰς οὐδὲν λογιζόμενον τοὺς πάντας (καὶ
boasting and at nothing reckoning the all and
γὰρ ὑπερόφρυς ἦν ὁ ἀνὴρ καὶ τοῖς πολλοῖς σκωπτικός),
for haughty was the man and to-the many mocking
καιρὸν εὑρόντες ἁρμόδιον καὶ τὸ παρρησιαστικὸν πρὸς
(a)-moment having-found fitting and the free-spokenness toward
αὐτοὺς ῥέπον (καὶ γὰρ ὁ Μουρὰτ νέος ὢν καὶ τῆς ἀρχῆς
them tending and for — Murad young being and of-the rule
τὰς ἡνίας οὔπω ταῖν χεροῖν κρατῶν, ἀλλ' ὡς ἡμίονος
the reins not-yet in-the(-two) hands holding but like (a)-mule
ἀδάμαστος ἡ τυραννὶς ἔνθεν κἀκεῖθεν ἀπολακτίζων τὼ
untamed the tyranny here and-there kicking-out the(-two)
πόδε καὶ καταφρονῶν τῷ παιδί, οὐκ ἦν ἐν αὐτῷ παρρησίας
feet and despising the boy not was in him of-free-speech
σπινθήρ, ἀλλὰ μᾶλλον πρὸς τοὺς σατράπας στοργὴ καὶ
(a)-spark but rather toward the satraps affection and
πέρα τοῦ μέτρου διάθεσις) ἔλεγον πρὸς αὐτόν. „ὁρᾷς, κύριε,
beyond the measure disposition said to him you-see lord
τὴν τοῦ ἐπιστάτου ἡμῶν ἐπιμέλειαν. ἤδη τὰ τῆς
the of-the overseer our care already the(-affairs) of-the
δύσεως ὄλωλεν, καὶ ἡ τῆς σῆς αὐθεντίας κορωνὶς ἐτέθη
west are-lost and the of-the your sovereignty crown has-been-placed
ἐν τῇ τοῦ Μουσταφᾶ κεφαλῇ· ὡς ἐν ὀλίγῳ γὰρ ἐγκρατὴς
on the — of-Mustafa head as in (a)-little for master
γενήσεται πάντων τῶν Θρᾳκικῶν θησαυρῶν καὶ δυνάμεων,
he-will-become of-all the Thracian treasures and forces
καὶ μετ' οὐ πολὺ ἰσχύσει καὶ καθ' ἡμῶν, εἰ μὴ ἄρα
and after not long he-will-prevail also against us if not then
γένηταί τις ἐπιμέλεια. κέλευσον οὖν σὺν ταῖς δυνάμεσι ταῖς
there-be some care order then with the forces those

εὑρισκομέναις ὡδὶ περᾶσαι τὸν πορθμὸν καὶ ἀντιπαρατάξαι
being here to-cross the strait and to-array-against
τῷ Μουσταφᾷ πρὸ τοῦ ἐλθεῖν καὶ συναφθῆναι τὰς δυτικὰς
— Mustafa before — to-come and to-be-joined the western
δυνάμεις σὺν αὐτῷ. καὶ γὰρ οὐκ ἔστι τῶν σῶν σατραπῶν
forces with him and for not there-is of-the your satraps
ἕτερος ὡς ὁ Παγιαζήτ, ἀντιστῆναι καὶ κατατροπώσασθαι
another as — Bayezid to-resist and to-rout
τοὺς ἐναντίους ὡς αὐτός, ἐπεὶ καὶ τὰ Θρᾳκικὰ τάγματα ὡς
the opponents as he since also the Thracian regiments as
κύριον αὐτὸν σέβονται πάντες, καὶ αὐτὸς ὡς οἰκείους αὐτοὺς
lord him revere all and he as own them
ἄγει ἔνθα καὶ βούλεται, δεικνύντες εἰς αὐτὸν ἄκραν ὑπακοὴν
leads where also he-wishes showing toward him utmost obedience
καὶ ταπείνωσιν." τότε ὁ Παγιαζὴτ προθύμως τὸ λεχθὲν
and humility then — Bayezid eagerly the(-thing) said
ἀκούσας, καὶ μετὰ σπουδῆς πολλῆς, ὡς εἶχε, τὸν πορθμὸν
having-heard and with haste much as he-was the strait
τῆς Προποντίδος τοῦ ἱεροῦ στομίου καταλαβών, καὶ
of-the Propontis of-the sacred mouth having-reached and
τὴν περαίαν διαβὰς σὺν τοῖς παρατυχοῦσιν εὐαρίθμοις,
the opposite-shore having-crossed with the chance-present few(-men)
ἐπὶ δυσὶν ἡμέραις τὴν Ἀδριανούπολιν καταλαβών, κἀκεῖ
in two days — Adrianople having-reached and-there
συναγηοχὼς παμπλήθη στρατὸν (καὶ γάρ, ὡς εἰρήκαμεν,
having-gathered very-large army and for as we-have-said
ἐμβριθὴς ἦν ὁ ἀνὴρ ἐν τοῖς πᾶσι, καὶ πάντες πρὸς
weighty was the man in the all(-things) and all to
αὐτὸν ἐκαραδόκουν) καὶ κοινολογησάμενος σὺν τοῖς ἄρχουσι
him looked-eagerly and having-conferred with the rulers
τῶν δυτικῶν μερῶν, καὶ πίστεις παρ' αὐτῶν λαβὼν ὡς
of-the western parts and pledges from them having-taken that

οὐκ ἀποστατήσουσιν, οὔτε τὴν τυχοῦσαν ὑποστῇ βλάβην,
not they-will-revolt nor the chance(-one) suffer harm
ἀλλὰ γενναίως ἀντισταθῶσι τῷ ἐχθρῷ καὶ τοῦτον θεοῦ
but nobly will-resist the enemy and him God
συνεργοῦντος νικητὴν ἀναδείξωσι, ταῦτα καὶ τὰ
working-with(-them) victor will-show these(-things) and the(-things)
τούτοις ὅμοια λέξαντες, ἔξεισι μετὰ δυνάμεως πλείστης.
to-these like having-said he-goes-out with force very-great
καὶ δὴ τὴν ἐν Χερρονήσῳ φέρουσαν ὁδὸν εὐθυδρόμως
and indeed the into (the)-Chersonese leading road straight-on
ἀρξάμενοι, ταχυδρόμοι τινὲς ἦσαν προπεμφθέντες παρ᾽
having-begun couriers some were sent-ahead by
ἐκείνου, καὶ δὴ ἐπανελθόντες ἀγγέλλουσι τῷ Παγιαζὴτ
him and indeed having-returned report — to-Bayezid
ὡς ὁ Μουσταφᾶς μετὰ δυνάμεως πλείστης ἀπάρας
that — Mustafa with force very-great having-set-out
τῶν ἐκεῖσε, καὶ περαιωθεὶς τὴν νεωστὶ παρὰ τῶν
from-the(-places) there and having-crossed the newly by the
Τούρκων μεγαλυνθεῖσαν κώμην καὶ εἰς πολυάνθρωπον
Turks enlarged village and into populous(-one)
τελεσθεῖσαν, ἥτις μεγάλη Καρύα κέκληται, ἐγγύς που
made which great Karya is-called near somewhere
τῷ κάμπῳ τῆς Ἀδριανοῦ τῷ πρωΐ μέλλει κατουνεῦσαι.
to-the plain the(-city) of-Hadrian in-the morning is-about to-encamp
ταῦτα ἐνωτισθεὶς ὁ Παγιαζήτ, καὶ μέσον θράσους καὶ
these(-things) having-heard — Bayezid and between boldness and
δειλίας πρυτανευόμενος, ἔξεισι τῆς Ἀδριανοῦ μετὰ καὶ
cowardice being-governed goes-out the(-city) of-Hadrian with also
τῶν σὺν αὐτῷ πλειόνων, ὑπὲρ τριάκοντα χιλιάδας ὄντων.
the(-men) with him more over thirty thousand being
φθασάντων δὲ ἔν τινι ὑδατώδει πεδίῳ καὶ αὐτοπλησίον
having-arrived and at some watery plain and right-near

ἐν τῷ ἄκρῳ τοῦ κάμπου, ὥστε τὴν πόλιν Ἀδριανοῦ
at the edge of-the plain so-that the city of-Hadrian
φαίνεσθαι ἀμυδρῶς ἐξ αὐτοῦ, ἀλσώδει ὄντι καὶ λίαν
to-appear dimly from it wooded being and very
καθύγρῳ, ἐν τούτῳ τὰ τοῦ πολέμου ηὐτρεπίζετο. καὶ
moist in this the(-things) of-the war were-made-ready and
γὰρ ἔφθασε καὶ ὁ Μουσταφᾶς σὺν τοῖς ὑπ' αὐτόν, καὶ
for arrived also — Mustafa with the(-men) under him and
ἄμφω τὰ στρατόπεδα ἐξ ἀνάγκης ἐχρῆν συμπλακῆναι,
both the camps of necessity it-was-needful to-engage
εἰ καὶ ὁ τόπος ἐδόκει ἀσύμφορος. τότε ὁ Παγιαζὴτ
if even the place seemed disadvantageous then — Bayezid
ἅμα καὶ τὴν δημηγορίαν καὶ τὴν ἐν ἅρμασι καὶ ἵπποις
at-once both the harangue and the in arms and horses
παρακέλευσιν συνάψας, πρὸς τοὺς ἡγεμόνας τῆς δύσεως
exhortation having-joined to the leaders of-the west
ταῦτα εἴρηκεν. „ἄνδρες ἀδελφοί, καὶ ὅσον ὑπὸ τὴν
these(-things) said men brothers and as-much(-as-is) under the
ὑμετέραν χεῖρα κοινόν, οἴδατε ἀκριβῶς τοῦ παρῳχηκότος
your hand common(-folk) you-know precisely of-the departed
ἡμῶν δεσπότου τὴν ἀγάπην ἣν ἐδείκνυε πρὸς ὑμᾶς, καὶ
our master the love which he-showed toward you and
τὸ εὐδιάθετον τῆς γνώμης αὐτοῦ, ὡς οὐκ ἐχρᾶτο ὑμᾶς
the good-disposition of-the mind his how not he-treated you
ὡς δούλους ἀλλ' ὡς ἀδελφούς, καὶ οὐ τόσον ἐφρόντιζε
as slaves but as brothers and not so-much he-cared-for
τῆς οἰκείας ὀρέξεως ὡς τὸ συμφέρον ὑμῶν, καὶ ὡς
the own desire as the advantage your and as
ἔρμαιον ἡγεῖτο τὸ κοινὸν ἀγαθόν, καὶ κατὰ σκοπὸν εἶχε
(a)-godsend he-considered the common good and as aim he-had
τοῦ αὐξάνεσθαι τὸ τοῦ προφήτου ἔθνος καὶ ἐλαττοῦσθαι
— to-increase the of-the prophet nation and to-diminish

τὸ τῶν Ῥωμαίων. καὶ πόλεις πολλὰς συνῆψε καὶ
the(-nation) of-the Romans and cities many he-joined and
ἐπαρχίας τῇ τῶν Μουσουλμάνων ἀρχῇ, καὶ οὐκ ἔλιπεν
provinces to-the of-the Muslims rule and not he-ceased
ἄχρι τελευτῆς αὐτοῦ προστίθεσθαι καὶ πλεονάζειν δυνάμεις
until (the)-end his to-add and to-multiply forces
καὶ πράγματα. νῦν δὲ ὁ παρὼν οὗτος ψευδότουρκος, ὃς
and affairs now but the present this false-Turk who
καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐν ταῖς παρούσαις ἡμέραις
also through the sins our in the present days
ἠγέρθη, ἤδη τὴν αὐθεντίαν μερίζων πρὸ τοῦ λαβεῖν καὶ
has-risen already the sovereignty dividing before — to-take and
τοῖς Ῥωμαίοις τὰ κρείττω πρὸ τοῦ ἔχειν παραδίδωσι,
to-the Romans the better(-parts) before — to-have hands-over
ἅτινα οἱ τοῦ ἀρχηγοῦ ἡμῶν πατέρες μετὰ πολλῶν
which the of-the leader our fathers with many
ἱδρώτων καὶ πόνων ἐκτήσαντο. ἢ οὐκ οἴδατε ὅτι ἡ
sweats and toils acquired or not you-know that the
Καλλιούπολις καὶ ὁ ταύτης πορθμὸς κλείς ἐστιν ἀνατολῆς
Gallipoli and the its strait key is of-east
τε καὶ δύσεως, Αἰγαίου πελάγους καὶ τοῦ Εὐξείνου;
both and of-west of-(the)-Aegean sea and of-the Euxine
καὶ εἰ ταύτην Ῥωμαῖοι βασιλεύουσιν, ἥκιστα Τοῦρκοι
and if it (the)-Romans rule least(-of-all) Turks
Ῥωμαίους αἰχμαλώτους εἰς ἑῴαν διαπορθμεύουσι, Ῥωμαῖοι
Romans (as)-captives to (the)-east ferry Romans
δὲ Τούρκους καὶ μάλα· καὶ ἔσται ἀρχὴ ὀδυνῶν
but Turks and very(-much-so) and will-be (a)-beginning of-pains
τὰ ἡμέτερα, ἐλευθερίας δὲ ἀπαρχὴ τὰ τῶν
the(-affairs) our of-freedom but (a)-first-fruit the(-affairs) of-the
Ῥωμαίων. διὸ παρακαλῶ ὑμᾶς ὡς χρὴ ἀντιστῆναι
Romans therefore I-exhort you that (one)-must to-resist

τῷ πλαστῷ τούτῳ Μουσταφᾷ καὶ τοῖς συνασπισταῖς καὶ
the fabricated this Mustafa and the fellow-shield-bearers and
ὁμόφροσι τούτου Ῥωμαίοις. οὐ γὰρ ἐκ τῶν αἱμάτων
like-minded of-him Romans not for from the bloods
Ὀθμὰν οὗτος ὁ δυσσεβὴς καὶ ἐχθρὸς τῆς πίστεως. καὶ
of-Osman (is)-this the impious and enemy of-the faith and
γὰρ ἐκεῖνος ὁ Μουσταφᾶς, ὁ ἀδελφὸς τοῦ κυρίου ἡμῶν,
for that — Mustafa the brother of-the lord our
ἐτεθνήκει κομιδῇ νήπιος ὤν, καθὼς ὁ κύριος ἡμῶν ἔλεγε
had-died quite (an)-infant being as the lord our said
πρός με. οὗτος γὰρ τῶν χυδαίων Τούρκων εἷς ὤν, ἐν ταῖς
to me this(-one) for of-the common Turks one being in the
ἡμέραις τοῦ προπαρῳχηκότος Μωϋσῆ ὁ βασιλεὺς Μανουὴλ
days of-the late-departed Musa the emperor Manuel
τοῦτον ὡς υἱὸν τοῦ Ἰλτρὴμ ἐφανέρωσε, ἐκφοβῶν τὸν
him as son — of-Yildırım displayed frightening —
Μωϋσῆν. εἶτα ὁ πλάνος οὗτος ὡς εἶδε τὸν βασιλέα ὅρκοις
Musa then the impostor this when he-saw the emperor by-oaths
συνδεθέντα καὶ ἄκραν ἀγάπην ἀλλήλοις ἐκ συμφώνου σὺν
bound and utmost love to-one-another by agreement with
τῷ κυρίῳ ἡμῶν μεταδόσαντας, ἀποδρὰς ἐς Βλαχίαν
the lord our having-shared having-run-away to Wallachia
ἀφίκετο, συνδιάγων τῷ Μύλτζῃ τότε τῶν Μυσῶν ἀρχηγῷ
arrived living-with — Mircea then of-the Mysians leader
ὄντι, υἱὸν αὐτὸν τοῦ Ἰλτρὴμ ἀποκαλοῦντα καὶ βοήθειαν
being son himself — of-Yildırım calling and help
ἐξαιτούμενον. κἀκεῖθεν λαβὼν ὀλίγην τινὰ βοήθειαν,
asking and-from-there having-taken little some help
καὶ εἰς τὰ Θετταλίας μέρη λῃστρικῶς εἰσελθών, τοὺς
and into the of-Thessaly parts piratically having-entered the(-ones)
συναντῶντας ἐμπόρους καὶ οἱουσδήτινας ἐξεγύμνου, καλῶν
meeting(-him) merchants and whomever stripped calling

ἑαυτὸν υἱὸν τοῦ Ἰλτρὴμ καὶ τοῦ Ὀθμὰν ἀπόγονον. ὅθεν
himself son — of-Yildırım and — of-Osman descendant whence
καὶ ὁ κύριος ἡμῶν, ὡς ὑμεῖς οἴδατε, στρατὸν ἀξιόλογον
also the lord our as you know army considerable
πέμψας κατ' αὐτοῦ, ἐγγύς που τῆς Θεσσαλονίκης
having-sent against him near somewhere — Thessalonica
συνάψαντες πόλεμον, μὴ δυνηθεὶς ἀντιστῆναι ὁ ἀλάστωρ
having-joined battle not having-been-able to-resist the wretch
φυγὰς εἰς τὴν Θεσσαλονίκην εἴσεισι. τότε καὶ ὁ Τζινεὴτ
(a)-fugitive into — Thessalonica enters then also — Cüneyd
συνδιάγων τῷ ἡμετέρῳ κυρίῳ (καὶ γὰρ ἦν ἀποστατήσας
living-with — our lord and for he-was having-revolted
τὸ πρότερον, αὐθεντεύων τὴν ἐπαρχίαν Ἀσίας καὶ
— before ruling the province of-Asia and
καθολικὸν ἡγεμόνα Σμύρνης τε καὶ Ἐφέσου ἀποκαλῶν
general leader of-Smyrna both and of-Ephesus calling
ἑαυτόν· καὶ σὺν πολλῇ δυνάμει τοῦτον ἐξελάσας ἐκεῖθεν,
himself and with much force him having-driven-out from-there
σὺν αὐτῷ διάγειν ἐκέλευεν ὁ ἡμέτερος κύριος εἰς τὰ
with him to-live ordered the our lord in the
τῆς δύσεως μέρη) τότε καὶ αὐτὸς καιροῦ δραξάμενος
of-the west parts then also he (the)-moment having-seized
εἰσῆλθεν ἐν τῇ Θεσσαλονίκῃ φυγάς, καὶ τῷ Μουσταφᾷ δι'
entered into — Thessalonica (a)-fugitive and — to-Mustafa for
αἰτίαν ῥηθεῖσαν συνήφθη. ὡς δ' οὖν οἱ τῆς πόλεως
(a)-reason stated was-joined when but then the(-men) of-the city
ἀνενδότως ἱστάμενοι καὶ μὴ προδοῦναι βουληθέντες τὸν
unyieldingly standing and not to-betray having-wished the
ἀπατεῶνα τοῦτον, ὁ ἡμέτερος δεσπότης γέγραφε πρὸς τὸν
deceiver this the our master wrote to the
βασιλέα αἰτῶν αὐτόν, καὶ παραδειγματικῶς ἐμήνυε λέγων
emperor asking(-for) him and by-example declared saying

„‚ἐξελθὼν τοῦ θηρεῦσαι θήραν, ἐκλαμπρότατε βασιλεῦ, καὶ
having-gone-out — to-hunt (a)-hunt most-illustrious emperor and
λύκου κυνηγετουμένου, καὶ δὴ ἐν χερσὶν τὴν ἄγραν ἔχων,
(a)-wolf being-hunted and indeed in hands the prey having
εἰσπηδήσας ἐσώθη ἐν τῇ μάνδρᾳ τῆς σῆς βασιλείας.
having-leaped-in it-was-saved in the fold of-the your majesty
ἀξιῶ οὖν τοῦ δοθῆναι τὸ ἐμὸν θήραμα, ἵνα μὴ καὶ τῶν
I-ask then — to-be-given the my quarry that not also of-the
σῶν καὶ τῶν ἐμῶν θρεμμάτων λυμαντὴρ γένηται καιροῦ
yours and of-the my nurslings (a)-ravager it-become (with)-time
προϊόντος.‘” ὁ δὲ βασιλεὺς ἀντέγραψε πρὸς αὐτὸν „‚εἰ
going-on — and emperor wrote-back to him if
καὶ λύκος τὸ διασωθὲν ἐν τῇ ἐμῇ μάνδρᾳ, ἀλλ’
even (a)-wolf (is)-the(-thing) saved in the my fold yet
ἐγὼ τὸ γαληνὸν ἔχων καὶ φιλάνθρωπον καὶ τὸ μὴ χαίρειν
I the calm having and humane and the not to-rejoice
ἐπ’ ἀλλοτρίοις φόνοις σωτὴρ ἔσομαι τοῦ λύκου καὶ οὐ
at others’ slaughters (the)-savior I-will-be of-the wolf and not
προδότης. ἀρκεῖ σοι τοῦ χαλινῶσαι τοῦτον ἐγὼ καὶ ἐν
(the)-betrayer it-suffices to-you — to-bridle him I and in
χερσὶν ἔχειν καὶ μὴ ἐâσαι προβαίνειν μήτε φθείρειν
hands to-have and not to-let(-him) to-advance nor to-destroy
τι τῶν σῶν, ἀλλ’ ἐν ἀδείᾳ καὶ ἀφθονίᾳ ἡγεμονεύειν
anything of-the yours but in security and abundance to-rule
σε ἄχρις ὅρου ζωῆς σου, φυλαττομένων τῶν ἐν ὅρκοις
you until (the)-limit of-life your being-kept the in oaths
γενομένων ἡμετέρων συνθηκῶν.” ἔκτοτε οὖν εἶχε τοῦτον
made our treaties from-then then had him
ὁ βασιλεὺς ἐν τῇ Κωνσταντινουπόλει σὺν τῷ Τζινεήτ,
the emperor in — Constantinople with the Cüneyd
καὶ μετὰ χρόνους τέσσαρας ἔπεμψεν αὐτὸν ἐν τῇ νήσῳ
and after years four he-sent him to the island

Λήμνῳ, κἀκεῖ διῆγεν ἄχρι τοῦ νῦν. νῦν δ' ὁ βασιλεὺς
Lemnos and-there he-lived until the now now but the emperor
μὴ ἔχων ὅ τι καὶ δράσειεν, ὁρῶν μὴ εἰς τέλος τὸ
not having what ever also he-might-do seeing not to (the)-end the
αὐτοῦ βούλημα ἐξερχόμενον (καὶ γὰρ ἐβούλετο τοὺς δύο
his will coming-out and for he-wished the two
παῖδας τοὺς νηπίους ἐν ταῖς χερσὶν ἔχειν καὶ δι'
boys the infants in the hands to-have and through
ἐκείνων ἡμᾶς ἐπτοῆσθαι τῷ αὐτοῦ κράτει), ἤδη τὸν
them us to-be-terrified by-the his power already the
ἀποστάτην τοῦτον σὺν τῷ Μουσταφᾷ ὡς ἀγρίους κύνας
rebel this with — Mustafa like wild dogs
καθ' ἡμῶν λυττῶντας ἀφῆκεν. ἡμεῖς δ' οὐχ ὡς δορκάδες
against us raging he-has-let-loose we but not as gazelles
ἢ πτῶκες εἰς τοὺς ὑπεναντίους φανοῦμεν, ἀλλ' ὡς λέοντες
or hares to the opponents will-appear but as lions
ἐπεισπηδήσομεν, καὶ ἀμεταστρεπτὶ τὰ δόρατα εἰς αὐτοὺς
we-will-leap-upon(-them) and without-turning the spears at them
σείσομεν εὐστόχως. καὶ γὰρ οἱ ἡμέτεροι πλείονες. ὁρᾶτε
we-will-brandish with-good-aim and for the our(-men) more you-see
τοίνυν τοὺς σὺν αὐτῷ εὐαριθμήτους ὄντας, καὶ ἔτι ἐν
therefore the(-men) with him easily-counted being and still in
ταῖς ῥαγμᾶσι τῶν ὀδόντων τὸν ἄρτον τοῦ κυρίου μου
the clefts of-the teeth the bread of-the lord my
φέροντας· καὶ αὐτοὶ σὺν ἡμῖν αὐθωρὸν ἔσονται, αὐτὸν ὡς
carrying and they with us instantly will-be him like
πεπλανημένον πρόβατον καταλείψοντες, μόνον εἰ προθύμως
(a)-strayed sheep going-to-leave only if eagerly
τὴν ἀρχὴν τῆς εἰσβολῆς τοῦ πολέμου ὑπεισέλθωμεν."
the beginning of-the onset of-the war we-enter-upon
ταῦτ' εἰπὼν καὶ τὰς φάλαγγας κατὰ τάξιν εὐαρμόστως
these(-things) having-said and the phalanxes in order harmoniously

συντάξας τὸ ἐνυάλιον ἤχησεν. ὁ δὲ Μουσταφᾶς σὺν τῷ
having-arrayed the war-cry sounded — and Mustafa with —
Τζινεὴτ καὶ αὐτὸς τοὺς οὓς εἶχεν ἐγκαρδίως στερρώσας,
Cüneyd also he the(-men) whom he-had heartily having-strengthened
καὶ ὀμόσας ὡς εἰ τῆς ἀρχῆς ἐπιλάβοι, πάντων
and having-sworn that if the rule he-should-take(-hold-of) of-all
πραγμάτων, ὡς αὐτός, καὶ αὐτοὶ ἔσονται κύριοι καὶ τιμῶν
affairs as he also they will-be lords and of-honors
καὶ δώρων ὅτι καὶ πλείστων ἀπολαύσονται παρ' αὐτοῦ,
and of-gifts that also very-many they-will-enjoy from him
καὶ τοῖς μικροῖς μεγάλα καὶ τοῖς μεγάλοις ὑπερμεγέθη
and to-the small great(-things) and to-the great enormous
τάξας τὰς ἀμοιβὰς καὶ τὰς χάριτας, καὶ δὴ ὁρῶν
having-assigned the rewards and the favors and indeed seeing
ὁ Μουσταφᾶς ἤδη σαλευόμενον τὸ τοῦ πολέμου πτερόν
— Mustafa already shaken the of-the war wing
(καὶ οἱ ὑπεναντίοι προσώρμησαν ἐπισείοντες τὰ δόρατα,
and the opponents charged brandishing the spears
καὶ τοξοβολισμοὺς οἱ τοξόται προέπεμπον), στὰς ἐφ'
and volleys-of-arrows the archers sent-forth having-stood on
ὑψηλοῦ τόπου, τὸν πόλεμον καταλιπὼν τῷ Τζινεὴτ (καὶ
(a)-high place the battle having-left — to-Cüneyd and
γὰρ ἦν ὁ ἀνὴρ ὡς οὐδεὶς τῶν ἄλλων ἀνδρεῖος καὶ τοῖς
for was the man as no-one of-the others brave and to-the
πολέμοις συνήθης) ἔκραξε μεγαλοφώνως „ἄνδρες ἀδελφοί,
wars accustomed cried-out loudly men brothers
οὐ γὰρ οὐ δούλους καλῶ, εἰς τί ἡ ἀσέβεια αὕτη;
not for not slaves I-call(-you) to what(-end) the impiety this
δοῦλος κατὰ δεσπότου, καὶ ταῦτα ἐξ Ἀλβανῶν, γένος
(a)-slave against (his)-master and that(-too) from Albanians (a)-race
βάρβαρον, πρὸς ἐμὲ τὸν υἱὸν τοῦ Ἰλτρήμ, τὸν κύριον ὑμῶν;
barbarous against me the son — of-Yıldırım the lord your

καὶ γὰρ εἰ ἔζη ὁ ἐμὸς ἀδελφός, εἶχεν ἂν λόγον ἡ
and for if were-living the my brother would-have — reason the
ἀσέβεια αὕτη, ὡς ὑπὲρ ἐκείνου τὴν ζωὴν θύσειν μέλλων
impiety this as for that(-one) the life to-sacrifice being-about
ὁ βιοθανὴς ἐν ὀλίγῳ μέλλων γενέσθαι οὗτος. νῦν δὲ
the violently-dying(-one) in (a)-little being-about to-become this(-man) now but
θανόντος ἐκείνου τίς κληρονόμος αὐτοῦ; ὁ υἱός; ἀλλ' οὐκ
having-died that(-one) who(-is) heir his the son but not
ἔχει χώραν ἐν Θρᾴκῃ· ἀρκεῖ γὰρ αὐτῷ τὰ τῆς ἑῴας·
he-has place in Thrace suffices for to-him the(-lands) of-the east
καὶ γὰρ οὐ τοῖς πράγμασιν ἐπεμβαίνω τοῖς πατρικοῖς
and for not on-the affairs I-intrude the paternal
αὐτοῦ, ἀλλὰ τοῖς τοῦ ἐμοῦ πατρός. εἰ γὰρ οὐκ εἰμὶ
his but on-the(-affairs) of-the my father if for not I-am
υἱὸς λέγει τις τοῦ Ἰλτρήμ, ἀλλ' ἐγὼ τὴν ἀλήθειαν
(the)-son says someone — Yıldırım but I the truth
φανερὰν ἐπιδείξω. εἰ δὲ καὶ πολεμεῖν με θέλει, οὐχ ὁ
manifest will-show if and even to-fight me he-wishes not the
ἐμὸς δοῦλος ἀλλ' ὁ ἐμὸς ἀνεψιὸς ἐλθέτω· καὶ εἴ τινι
my slave but the my nephew let-him-come and if to-anyone
νέμει τὸ κράτος ἡ τύχη, καὶ κρατείτω ἐκεῖνος. θαυμάζω
assigns the power the fortune also let-rule that(-one) I-marvel
δὲ καὶ ὑμᾶς τοὺς εὐδοκιμήσαντας ἐν ταῖς στρατείαις τοῦ
and also (at)-you the(-men) having-won-renown in the campaigns of-the
ἐμοῦ πατρὸς καὶ ἐπισταμένους τὴν ἀλαζονείαν αὐτοῦ καὶ
my father and knowing the arrogance his and
τὸν τῦφον καὶ τὴν ὑπεροψίαν τοῦ τριοβολιμαίου τούτου.
the conceit and the haughtiness of-the three-obol(-fellow) this
καὶ εἰ εὐτυχήσει ἐν τῇ παρούσῃ συμπλοκῇ, τίς ἔσται ὃς
and if he-will-prosper in the present engagement who will-be who
δυνήσεται συνᾶραι λόγον μετ' αὐτοῦ; διὸ παρακαλῶ, μὴ
will-be-able to-exchange (a)-word with him therefore I-exhort not

γίνεσθε πολεμισταί, ἀλλὰ μᾶλλον συμμαχήσατέ μοι καὶ
be fighters but rather fight-as-allies with-me and
μετὰ ἐπιεικείας προσέλθετε. καὶ τῶν ὑμετέρων, μάρτυς
with gentleness come and of-the yours (as)-witness
Θεός, οὐ στερήσω τι, ἀλλὰ μᾶλλον προσθήσω καὶ
God not I-will-deprive(-you) anything but rather I-will-add and
ἔτι πλείονα αὐξήσω." τούτων οὕτω λεχθέντων αἴφνης ὁ
yet more I-will-increase these thus having-been-said suddenly the
τὸ δεξιὸν κέρας ὑπερασπίζων σατράπης ἀποσπασθείς, ὡς
the right wing shielding satrap having-broken-away as
δῆθεν συμπλακῆναι θέλων τῷ Τζινεήτ, σὺν τοῖς σὺν
supposedly to-engage wishing — Cüneyd with the(-men) with
αὐτῷ ἦλθον ἐνώπιον τοῦ Μουσταφᾶ, καὶ ἀποβάντες τῶν
him came before — Mustafa and having-dismounted from-the
ἵππων ἅπαντες τὴν δουλικὴν προσκύνησιν ἀπένειμαν αὐτῷ.
horses all the slavish obeisance rendered to-him
μετ' οὐ πολὺ δὲ καὶ ὁ τὸ ἀριστερὸν κέρας κρατῶν
after not long and also the(-one) the left wing holding
κἀκεῖνος ἔπραττε τὰ ὅμοια. καὶ ἦν ἰδεῖν ξένην
and-he did the like(-things) and it-was(-possible) to-see (a)-strange
ἀλλοίωσιν, τὸν Μουσταφᾶν ὡς ἐν ἀκαρεῖ πτερωθέντα
change — Mustafa as in (an)-instant winged
καὶ ὡς ἀετὸν ὑψιπετοῦντα παρόμοιον, τὸν δὲ Παγιαζὴτ
and like (an)-eagle soaring-high like the and Bayezid
ὡς κολοιὸν καταψιλωθέντα καὶ ἔρημον μόνον μετὰ τῶν
like (a)-jackdaw stripped-bare and deserted alone with the
ἰδίων ἱστάμενον. τότε κατὰ νοῦν λαβὼν ὡς σπανίως
own(-men) standing then into mind having-taken how rarely
ὑπερισχύει δοῦλος δεσπότου, καὶ ὁρῶν ὡς ἤδη τὰ τῆς
prevails (a)-slave over-(a)-master and seeing how already the of-the
τύχης νήματα ἀντιστρόφως κλώθονται, πραγματεύεται
fortune threads in-reverse are-spun he-negotiates

τὴν αὐτοῦ σωτηρίαν ἐν τάχει, καὶ καταβὰς τοῦ
the his safety in haste and having-dismounted from-the
ἵππου σὺν τῷ ἀδελφῷ αὐτοῦ Χαμζᾷ δουλικῶς καὶ αὐτοὶ
horse with the brother his Hamza slavishly also they
προσυπήντουν καὶ προσεκύνουν αὐτῷ.
went-to-meet(-him) and did-obeisance to-him
τότε οἱ τοῦ Μουσταφᾶ τὸν πόλεμον λύσαντες καὶ
then the(-men) — of-Mustafa the battle having-broken-off and
σκηνὰς ἡγεμόνι πρεπούσας πήξαντες, ἀποβιβάσαντες τοῦ
tents for-(a)-leader fitting having-pitched having-helped-dismount from-the
ἵππου τὸν Μουσταφᾶν ὡς ἀρχηγὸν αὐτὸν καὶ ἡγεμόνα
horse — Mustafa as leader him and ruler
πάσης γῆς Ῥωμαίων εὐφήμουν· τῷ δὲ Παγιαζὴτ
of-all (the)-land of-(the)-Romans acclaimed — and to-Bayezid
κελεύσαντι καθεσθῆναι μακρόθεν φύλακας ἐπέτρεψε
having-ordered to-sit-down far-off guards he-entrusted(-him-to)
τοῦ φυλάττειν αὐτόν. ἐλθὼν δὲ ὁ Τζινεήτ, καὶ ἰδὼν
— to-guard him having-come and — Cüneyd and having-seen
αὐτὸν ἔτι ζῶντα (καὶ γὰρ ἦν κρατῶν τὰς ἄκρας τοῦ μὴ
him still living and for he-was holding the heights — not
διαδρᾶναι τὸν ἀντικείμενον) καὶ μαθὼν ὅτι ἐν ἄρκυσιν
to-escape the adversary and having-learned that in nets
ἦν, λέγει τῷ Μουσταφᾷ „ἕως πότε ὁ ἀνόσιος οὗτος
he-was says — to-Mustafa until when the unholy this(-man)
τὸν ἥλιον ὁρᾷ, ὁ μηδὲ ψηλαφητοῦ σκότους ὢν
the sun sees the(-one) not-even of-palpable darkness being
ἄξιος;" ὁ δὲ Μουσταφᾶς „ὡς βουλητόν ἐστί σοι, ποίει"
worthy — and Mustafa as pleasing it-is to-you do(-it)
εἰπών, κελεύει μικρὸν ἑλκύσαντες ἔξω τῆς παρεμβολῆς
having-said orders (a)-little having-dragged(-him) outside of-the camp
τὸν ἄθλιον τὴν κεφαλὴν ἀποτμηθῆναι. ὃ καὶ γέγονεν,
the wretch the head to-be-cut-off which also happened

ὁρῶν καὶ αὐτὸς τὴν καρατόμησιν καὶ λέγων „οἶδας, ὦ
seeing also he the beheading and saying do-you-know O
κάκιστε, θερίζειν ὄρχεις;" καὶ γὰρ ἔτυχε κοπῆναι τοὺς
vilest(-one) to-reap testicles and for it-had-happened to-be-cut-off the
ὄρχεις τοῦ Αὐδουλᾶ γαμβροῦ τοῦ Τζινεὴτ προλαβὼν τοῦ
testicles — of-Abdullah son-in-law — of-Cüneyd previously —
Παγιαζὴτ τοῦτο κελεύσαντος. τότε ἤγαγον καὶ τὸν Χαμζᾶν
Bayezid this having-ordered then they-brought also — Hamza
τὸν ἀδελφὸν αὐτοῦ, θέλοντες κἀκεῖνον καρατομῆσαι· ὁ δὲ
the brother his wishing that(-one)-too to-behead — and
Τζινεὴτ ἐλεήσας αὐτὸν νέον ὄντα „ἄφετε αὐτὸν" εἶπεν· „οὐ
Cüneyd having-pitied him young being let-go him he-said not
γάρ ἐστιν ὡς ἐκεῖνον τὸν βιοθανῆ καὶ ἀπάνθρωπον
for is-he like that(-one) the violently-dying(-one) and inhuman
οὗτος, οὐδὲ ἐκ τῶν χειρῶν τούτου ἐξέρχεταί τι τοῦ
this(-one) not-even from the hands of-him comes anything —
πρᾶξαι κακόν. ἔστω οὖν ἐμὸς ἀπελεύθερος." οὐκ οἶδεν ὁ
to-do evil let-him-be then my freedman not knows the
δύστηνος Τζινεὴτ ὅτι τὸν θανατηφόρον αὐτοῦ ζωπυρεῖ, καὶ
wretched Cüneyd that the death-bearer his he-is-kindling and
ὃν ἐλεεῖ αὐτός, ἀνηλεῶς μέλλει τὴν ζωὴν αὐτοῦ ὡς
(him)-whom he-pities he pitilessly is-about the life his as
ἐν ὀλίγῳ λαβεῖν. τότε ὁ νέος ἀρχηγὸς Μουσταφᾶς μετὰ
in (a)-little to-take then the new leader Mustafa with
παρρησίας καὶ θάρσους ἐπὶ τὴν Ἀδριανούπολιν εἴσεισι σὺν
boldness and confidence into — Adrianople enters with
παντὶ τῷ στρατῷ. καὶ μετὰ χαρᾶς καὶ παρρησίας πολλῆς
all the army and with joy and free-spokenness much
ἐξῆλθον οἱ πολῖται εἰς ἀπάντησιν αὐτοῦ, εὐφημοῦντες
came-out the citizens to meeting him acclaiming
ἱλαρᾷ τῇ φωνῇ. οἱ δὲ τῆς Καλλιουπόλεως μαθόντες
with-cheerful the voice the(-men) and — of-Gallipoli having-learned

τὸ γεγονός, καὶ ἀπελπίσαντες οἱ τοῦ φρουρίου
the(-thing) having-happened and having-despaired the(-men) of-the fortress
μεθ᾽ ὅρκων καὶ συνθηκῶν παρέδωκαν τὸ φρούριον. ὁ δὲ
with oaths and treaties handed-over the fortress — and
Λεοντάριος ἐλπίζων κατὰ τὰς συνθήκας τὰς ἐνωμότους,
Leontares hoping according-to the treaties the sworn
μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ φρουρίου τοὺς φύλακας καὶ
after the to-come-out from the fortress the guards and
πᾶσαν τὴν παρασκευὴν ἣν εἶχον ἔνδον κατὰ τὰς
all the equipment which they-had inside according-to the
πίστεις αἷ ἐγένοντο μετ᾽ αὐτῶν, αὐτὸς ἐκ τῶν τριηρέων
pledges which were-made with them he from the triremes
ἐξαγαγὼν θώρακας περικεφαλαίας δόρυ τζάγρας καὶ
having-brought-out breastplates helmets spear crossbows and
πᾶν εἶδος ἁρμάτων ἤρξατο εἰσάγειν ἐν τῷ φρουρίῳ.
every kind of-arms began to-bring-in into the fortress
φθάσας οὖν ὁ Τζινεὴτ καὶ ἰδὼν τὰ γενόμενα, ὁρῶν
having-arrived then — Cüneyd and having-seen the(-things) happened seeing
δὲ καὶ τὸν δῆμον τῶν Τούρκων θορυβούμενον καὶ ταραχώδη
and also the people of-the Turks in-uproar and tumultuous
ἐπὶ τῇ ἀνελπίστῳ καὶ ἀπροσδοκήτῳ μεταβολῇ, ἤρξατο
at the unhoped-for and unexpected change began
σκώπτειν καὶ σκληρολογεῖν τὸν Δημήτριον, λέγων „ὡς ἐμοὶ
to-mock and to-speak-harshly(-to) — Demetrios saying as to-me
δοκεῖ, ὦ στρατηγὲ Δημήτριε, τὸν ἀγῶνα ὃν ἠγωνισάμεθα,
it-seems O general Demetrios the struggle which we-struggled
καὶ τοὺς κινδύνους οὓς ὑπέστημεν, ἕνεκα τοῦ γένους
and the dangers which we-underwent for-the-sake of-the race
τοῦ σοῦ καὶ τῆς τῶν Ῥωμαίων βασιλείας ὑπολαμβάνεις
— yours and of-the of-the Romans empire you-suppose
γεγονέναι. ἀλλ᾽ οὐχ οὕτως ἐστί. τὸ γενόμενον εἰς ἡμᾶς,
to-have-been but not so is the(-thing) happened for us

ἐγκλείστους ὄντας ἀπολυθῆναι καὶ δούλους ὄντας δεσπότας
shut-up being to-be-released and slaves being masters
γενέσθαι, οὐχ ὑμᾶς τοὺς Ῥωμαίους τῆς δωρεᾶς ταύτης
to-become not you the Romans of-the gift this
αἰτίαν κρίνομεν, ἀλλὰ τῷ ἐπουρανίῳ θεῷ. ὑμᾶς δὲ τοὺς
(the)-cause we-judge but to-the heavenly God you but the(-ones)
συμπασχήσαντας καὶ κοπιάσαντας ἐν τῇ μεταθέσει ταύτῃ,
having-suffered-with(-us) and having-toiled in the change this
θεοῦ θελήσει κεκοπιάκατε, ὀρθῶς ὑπολαμβάνομεν. ἕνεκα
of-God by-(the)-will you-have-toiled rightly we-suppose for-the-sake
οὖν τῶν κόπων καὶ τῶν ἀμφοτέρων τῶν καμάτων τῷ
then of-the toils and of-the both — labors to-the
μόνῳ θεῷ προσφέρομεν εὐχαριστίας· ὑμᾶς δὲ διὰ δώρων
only God we-offer thanks you but with gifts
ἱκανῶν καὶ φιλίας, καὶ ταύτης προσκαίρου, παραπέμψαι.
sufficient and friendship and that(-too) temporary to-send-off
τὸ δὲ πόλεις καὶ φρούρια λαβεῖν παρ᾽ ἡμῖν ἀρκεῖ σοι
the but cities and fortresses to-take from us suffices for-you
σῶον πεμφθῆναι ἐν Κωνσταντίνου, ἀναμιμνήσκοντες τῶν
safe to-be-sent to Constantine's(-city) recalling the
Λημνίων κακῶν καὶ τῶν ἐν τῇ μονῇ τῆς παμμακαρίστου
Lemnian evils and of-the in the monastery of-the Pammakaristos
τῶν καλογήρων ὀνειδισμόν. ἔχεις μισθοῦ χάριν σώαν
of-the monks reproach you-have of-wages for-(the)-sake safe
τὴν κεφαλήν, τὸ τοῦ λύκου φθέγξομαι. αἶρε κώπας·
the head the(-saying) of-the wolf I-will-utter raise oars
ἔχεις τὸν Εὖρον πνέοντα γλυκερὸν ἀέριον. φθάνε τὴν
you-have the Eurus blowing sweet breeze reach —
Κωνσταντίνου, ἄσπασαι τοὺς βασιλεῖς ἀφ᾽ ἡμῶν. λέγε πῶς
Constantine's(-city) greet the emperors from us say how
θεὸς τὴν αὐθεντίαν ἡμῖν ἐδωρήσατο. ἔστω μεθ᾽ ἡμῶν
God the sovereignty to-us gave let-him-be with us

ἐν εἰρήνῃ διάγων, καὶ ἡμεῖς μετ᾽ αὐτοῦ. ἀπέστω ζήτησις
in peace living and we with him away-with (the)-demand
Καλλιουπόλεως.” ταῦτα τὸν στρατηγὸν τὰ ῥήματα οὐκ
of-Gallipoli these the general the words not
ὀλίγον ἐτάραξαν· καὶ θυμωθεὶς „οὐκ οἶδας” ἔφη „τὸν
little troubled and having-been-angered not you-know he-said the
ἐμὸν βασιλέα ποίας συνέσεως καὶ γνώσεως καὶ ποίας
my emperor of-what understanding and knowledge and of-what
ἄλλης μεγαλογνωμοσύνης ἐστίν, ἀποπέμπειν με κενὸν
other magnanimity he-is to-send-away me empty
τοιούτοις ῥήμασι φαύλοις ἀποπτύοντα ἐκ τοῦ στόματος,
with-such words base spitting from the mouth
ὦ Τζινεήτ. ἴσθι ὅτι ὡς ἐν ὀλίγῳ, ὡς ὁρῶ, πάλιν ἕξει σε
O Cüneyd know that as in (a)-little as I-see again will-have you
ἡ Κωνσταντίνου, καὶ τότε μάθῃς ἃ εἴρηκας. πλὴν οὐ
— Constantine's(-city) and then you-will-learn what you-have-said but not
σόν ἐστι τὸ διδόναι με λόγον καὶ ἀποπέμπειν, ἀλλὰ τοῦ
yours it-is the to-give me (an)-answer and to-send-away but of-the
ἀρχηγοῦ Μουσταφᾶ, ὃν ὁ θεὸς καὶ ἡ τύχη Ῥωμαίων
leader Mustafa whom — God and the fortune of-(the)-Romans
ὕψωσε. σὺ δὲ εἷς τῶν πολλῶν τυγχάνων παῦσαι τοῦ
raised-high you but one of-the many being stop —
λέγειν, ὅτι οὐκ ἔχεις τὸν ἀκούοντα.” ἐγερθεὶς οὖν
to-speak since not you-have the(-one) listening having-risen then
εἰσῆλθεν εἰς τὰς τριήρεις πλήρης ὢν χόλου καὶ πικρίας,
he-went-in into the triremes full being of-wrath and bitterness
μὴ ἔχων τί ποιῆσαι, κατὰ νοῦν φέρων τὴν τῶν ὅρκων
not having what to-do in mind bearing the of-the oaths
ἀθέτησιν καὶ τὰς ὑποσχέσεις τὰς παρ᾽ αὐτῶν γενομένας.
setting-aside and the promises the(-ones) by them made

ὅμως ἵστατο ἐκδεχόμενος παρὰ τοῦ Μουσταφᾶ τὴν
yet he-stood awaiting from — Mustafa the
ἀπόκρισιν, εἰ μέλλει κατὰ τὰς συνθήκας λαβεῖν τὸ
answer whether he-is-about according-to the treaties to-take the
φρούριον ἢ οὔ, καὶ τότε ἐπαναζεῦξαι. ὁ δὲ Μουσταφᾶς
fortress or not and then to-return — and Mustafa
ἐλθών, καὶ λόγους συνάραντες ἱκανοὺς ἄμφω, τῷ Δημητρίῳ
having-come and words having-exchanged sufficient both — to-Demetrios
ἔφη „ἐγὼ μέν, ὦ φίλε καὶ τοῦ ἐμοῦ ὑπερασπιστοῦ
said I indeed O friend and of-the my champion
περιπόθητε, οἶδα ἀκριβῶς τὰς ὑποσχέσεις ἃς ὑπεσχέθην
much-longed-for know precisely the promises which I-promised
ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ προφήτου αὐτοῦ, καὶ ὅτι ἐν μέσῳ
before — God and the prophet his and that in (the)-midst
τούτων ἦν καὶ τὸ τῆς Καλλιουπόλεως φρούριον. ἕνεκα
of-these was also the of-the Gallipoli fortress for-the-sake
οὖν τῶν ἄλλων ἁπάντων ἔχω λόγον ἀποδοῦναι ἐν τῇ
then of-the other all I-have (an)-account to-render in the
ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, εἰ μὴ κατὰ τὸ συμφωνηθὲν
day that the fearful if not according-to the(-thing) agreed
οὐκ ἀποβήσεται· περὶ δὲ τοῦ φρουρίου κρεῖσσον παραβαίνειν
not it-will-turn-out about but the fortress better to-transgress
ὅρκον ἢ προσκρούειν θεῷ, εὐσεβεῖς ἐν χερσὶν ἀσεβῶν
(an)-oath than to-offend God pious(-men) into hands of-impious(-men)
ἀποτιθέναι, καὶ ποιεῖν δοῦλον τὸ ἐλεύθερον καὶ τὸ θεῷ
to-put and to-make slave the free and the to-God
ἀφιερωμένον ἔθνος εἰς χεῖρας ἀπίστων καὶ τὸν ἕνα θεὸν τοῦ
dedicated nation into hands of-unbelievers and the one God of-the
οὐρανοῦ καὶ τῆς γῆς μὴ εἰδότων. εἰ δὲ καὶ ἐς τοσαύτην
heaven and of-the earth not knowing if but even into so-great
ἀσέβειαν κατακρημνισθῶ, ὃ μὴ γένοιτο, κύριε, τὸ τῶν
impiety I-be-hurled which not may-it-be lord the of-the

Μουσουλμάνων γένος οὔτ᾽ ἐμοὶ τὴν ἀρχηγίαν παραχωρήσει
Muslims race neither to-me the leadership will-concede
οὔτε σοὶ τοῦ χωρίου τούτου χαρίσει τὴν εἴσοδον. ἄπιθι
nor to-you of-the place this will-grant the entry go-away
τοιγαροῦν, κἀγὼ εἰς ὅσον εὐπορῶ, τόσον καὶ τὴν
therefore and-I to as-much(-as) I-am-able so-far also the
ἀνταμοιβὴν παρεκτείνω. ὅσα δὲ οὐ παρὰ τὴν ἐμὴν
recompense extend as-many-things but not in the my
κτῆσίν εἰσιν, ἀλλὰ τῷ δημοσίῳ κεκλήρωται καὶ τῷ ἐμῷ
possession are but to-the public(-treasury) have-been-allotted and to-the my
προφήτῃ, οὐ θέλω παρασαλεῦσαί τι τῶν Μουσουλμανικῶν
prophet not I-wish to-shake anything of-the Muslim
ἐθῶν καὶ τῶν προσταγμάτων τοῦ προφήτου, Μουσουλμάνος
customs and of-the ordinances of-the prophet (a)-Muslim
τυγχάνων. καὶ γὰρ ἐπιμόνως ἐργάσομαι τοῦ προσθεῖναι
being and for persistently I-will-work — to-add
καὶ ἐπαυξῆσαι πόλεις καὶ χώρας καβουρίδων ποιῆσαι τῶν
and to-increase cities and lands of-infidels to-make of-the
Μουσουλμάνων εἶναι· τὸ δὲ πόλιν, καὶ ταῦτα Καλλιούπολιν,
Muslims to-be the but (a)-city and that(-too) Gallipoli
ἥτις ἐστὶ λαιμὸς τῶν Μουσουλμάνων καταροφῶν ἅπαν
which is (the)-throat of-the Muslims gulping-down every
γένος τῶν Χριστιανῶν, καὶ πνιγμονὴ τῶν Χριστιανῶν
race of-the Christians and (a)-strangling of-the Christians
καταπνίγων καὶ ὀλεθρεύων αὐτούς, πώποτε οὔτε κατὰ νοῦν
choking and destroying them ever neither into mind
ἐπεισπεσεῖται τὸ τοιοῦτον παραλόγισμα, οὔτε εἰς τέλος
will-fall the such fallacy nor to (the)-end
ἐξάγω." ταῦτα ἐνωτισθεὶς ὁ Λεοντάριος, καὶ ὥσπερ
I-carry-out these(-things) having-heard — Leontares and as
λέων τῆς θήρας ἀστοχήσας, κάτω τὴν κεφαλὴν φέρων καὶ
(a)-lion of-the prey having-missed down the head carrying and

τῇ οὐρᾷ τὴν γῆν ἐπιριπίζων, ὑποχαλῶν αὐτήν, οὕτω καὶ
with-the tail the earth fanning lowering it so also
οὗτος ὑπὸ τῆς λύπης ὡς ἐν ἐκστάσει φρενίτιδι γενόμενος,
he by the grief as in (a)-trance delirious having-become
κάτω τὴν κεφαλὴν ἔχων ἕως οὗ καταλήξας τὸν παράλογον
down the head having until — having-finished the unreasonable
λόγον ἔστη, ἄρας τὸ ὄμμα πρὸς αὐτὸν ἔφη „ἡμεῖς
speech he-stopped having-raised the eye toward him said we
μέν, ὦ κύριε καὶ ἀρχηγέ, τῶν Μουσουλμάνων οἴδαμεν
indeed O lord and leader of-the Muslims know
ἀκριβῶς τὴν πρὸς ἡμᾶς ἐκ πολλῶν χρόνων διάθεσιν·
precisely the toward us from many years disposition
καὶ γὰρ ἤδη ἐπέκεινα τὰ ἔτη τυγχάνει τὸν ἀριθμὸν τῶν
and for already beyond the years happen(-to-be) the number of-the
ἑκατὸν πεντήκοντα, ἀφ' οὗ ὁ σὸς πρόπαππος Ὀθμὰν
hundred fifty from which(-time) the your great-grandfather Osman
τὰ τῆς Βιθυνίας καὶ Παφλαγονίας καὶ Φρυγίας μέρη
the — of-Bithynia and of-Paphlagonia and of-Phrygia parts
ἁρπάσας ἐκ τῶν χειρῶν τῶν ἡμετέρων γονέων κατέσχε.
having-seized from the hands of-the our parents held(-them)
ὁ δὲ ἔκγονος αὐτοῦ Ὀρχὰν γενόμενος κύριος καὶ κληρονόμος
— and descendant his Orhan having-become lord and heir
τῶν αὐτῶν θεμάτων οὐ διέμεινέ ποτε ταῖς συνθήκαις καὶ
of-the same themes not remained ever in-the treaties and
ὅρκοις, παραβαίνων καὶ μεταπηδῶν ὅρια ἃ ἠσφαλίσαντο
oaths transgressing and leaping-over bounds which had-secured
θεὸς καὶ ἀλήθεια, ἄγων ἔτος ἔκτοτε ἐγγύς που
God and truth bringing (the)-year from-then near somewhere
ἑκατοστὸν ἀφ' οὗ τὰ τῆς δύσεως ἤρξατο φθείρειν.
(the)-hundredth from which(-time) the(-things) of-the west he-began to-destroy
εἶτα ὁ ἔκγονος αὐτοῦ ὁ σὸς πατὴρ Ἰλτρὴμ γενόμενος
then the descendant his the your father Yıldırım having-become

κύριος τῶν πραγμάτων καὶ θεμάτων κατὰ διαδοχήν, καὶ
lord of-the affairs and themes by succession also
αὐτὸς παραβαίνων τοὺς ὅρκους, ἐπὶ τῷ τέλει τὴν ἀρχὴν
he transgressing the oaths at the end the rule
αὐτοῦ πᾶσαν καὶ αὐτὸν ὁ θεὸς ἐν χερσὶ Περσῶν
his all and him — God into (the)-hands of-Persians
παρέδωκεν. νῦν δ' ἐκείνου παρελθόντος ἐγγύς που τὰ
handed-over now and that(-one) having-passed near somewhere the
τριάκοντα ἔτη τελούμενον ἕως σήμερον, οἱ ὑμέτεροι ἀδελφοὶ
thirty years being-completed until today the your brothers
Μουσουλμὰν καὶ Μωσῆς παραβάντες ὅρκους κακῶς καὶ
Musulman and Musa having-transgressed oaths wickedly both
τῆς ἀρχῆς καὶ τῆς ζωῆς ἐξέπεσον. μόνον ὁ ἤδη νεωστὶ
from-the rule and from-the life fell only the now newly
παρελθὼν Μεχεμὲτ ἀρχηγός, ὁ σὸς ἀδελφός, αὐτὸς τοὺς
departed Mehmed leader the your brother he the
ὅρκους ἐτήρησεν καὶ αὐτὸς τὸ τέλος εἰρηνικὸν καὶ τὴν
oaths kept and he the end peaceful and the
τρυφὴν τῆς ἡγεμονίας εὐδαιμόνως ἀπέλαβεν. σὺ δὲ ταῦτα
luxury of-the dominion happily received you but these(-things)
ποιῶν, οὐκ εἰς μακρὰν γελάσει ἡ τύχη συναίρουσα καὶ
doing not for long will-laugh the fortune assisting and
βοηθοῦσά σοι. ἀδίκους γὰρ ὁ θεὸς πρὸ καιροῦ παραπέμπει
helping you unjust(-men) for — God before (the)-time sends
εἰς Ἅιδην, καὶ τοὺς ἀθετοῦντας αὐτὸν εἰς τέλος ἀφανίζει.
to Hades and the(-ones) setting-aside him to (the)-end he-wipes-out
ὅτε γὰρ φεύγων εἰσῆλθες ἐν Θεσσαλονίκῃ, εἰ ὁ βασιλεὺς
when for fleeing you-entered into Thessalonica if the emperor
τῶν Ῥωμαίων παρεδίδου σε τῷ Μεχεμὲτ καὶ ἀγχόνη
of-the Romans had-handed-over you — to-Mehmed and (a)-noose
τὴν ζωήν σου ἐλάμβανε, εἶχον ἂν πολλοὶ αἰτιᾶσθαι καὶ
the life your had-taken would-have — many to-blame and

κατακρίνειν Ῥωμαίους ὡς προδότας καὶ τῶν εἰς αὐτοὺς
to-condemn (the)-Romans as traitors and of-the(-ones) to them
προσφυγόντων δεινοὺς φονέας καὶ τὰ ἐναντία τοῦ
having-fled-for-refuge terrible murderers and the(-things) contrary of-the
δικαίου πράττοντας. ἄρτι δέ σε ἀρχηγὸν ἀναδείξαντες μετὰ
just doing now but you leader having-proclaimed after
θεὸν οἱ Ῥωμαῖοι, γράφεις μὲν θεῷ τὸ πᾶν, καὶ τοῦτο καλῶς
God the Romans you-ascribe indeed to-God the all and this well
εἴρηκας, οὐδ' ἐγὼ ἀντιλέγω· τοὺς δὲ συγκοπιάσαντας
you-have-said nor I gainsay the(-ones) but having-toiled-with(-you)
ὡς ἐχθροὺς λογίζῃ καὶ ἀντιστρέφεις τὸ πρόσωπον. ὑγίαινε
as enemies you-reckon and you-turn-away the face fare-well
οὖν εὐφραινόμενος. ἡμεῖς δὲ πρὸς τοὺς ἰδίους οἴκους
then rejoicing we but to the own houses
ἀπελθόντες, καὶ τῷ βασιλεῖ ἀναγγείλαντες τὰ τῆς
having-gone-away and to-the emperor having-reported the(-things) of-the
ἀπάτης, τὸ πᾶν θεῷ ἀναθέμενοι προσκαρτερήσομεν,
deceit the all to-God having-committed we-will-persevere
ἐκδεχόμενοι τὴν αὐτοῦ δικαίαν ἀπόφασιν." ταῦτα εἰπὼν
awaiting the his just sentence these(-things) having-said
καὶ ἐξελθὼν τοῦ λιμένος καὶ τὰ ἱστία πτερώσας τὴν
and having-gone-out of-the harbor and the sails having-spread the
πρὸς Κωνσταντινούπολιν πορείαν ἔπλευσεν.
to Constantinople way sailed

Manuel thinks of restoring Murad if he yields the two boys; Murad's envoy Ibrahim offers great gifts, but not Gallipoli or the boys, and Manuel refuses. Doukas describes the alum mountain of Phokaia, the founding of New Phokaia by Genoese and Romans, and its tribute to Saruhan. The podestà Giovanni Adorno, deep in debt, offers Murad ships to cross the strait and receives fifty thousand gold pieces to fit a fleet. Cüneyd persuades the drunken Mustafa to cross to Asia, meaning to desert, and at Lopadion the two armies face each other across a broken bridge.

Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς Μανουὴλ καὶ λύπῃ πολὺ
having-learned and these(-things) the emperor Manuel and by-grief much
συσχεθεὶς καὶ θυμοῦ πλήρης γενόμενος, μὴ ἔχων ὅ τι
having-been-seized and of-anger full having-become not having what ever
ποιῆσαι, ἐβουλεύσατο κατὰ νοῦν τὴν ἑτέραν βαδίσαι καὶ
to-do decided in mind the other(-way) to-go and
στεῖλαι πρέσβεις τῷ Μουράτ· καὶ εἰ βούλεται πληρῶσαι
to-send envoys — to-Murad and if he-wishes to-fulfill
τὴν πατρικὴν θέλησιν καὶ δοῦναι τὰ δύο βρέφη ὁμήρους,
the paternal will and to-give the two infants (as)-hostages
ἐπεὶ ἐκποδὼν ἐγεγόνει ὁ Παγιαζήτ, πάλιν θεοῦ ἀρωγοῦντος
since out-of-the-way had-become — Bayezid again God helping
ἀποκαταστήσει τοῦτον εἰς τὴν πατρῴαν ἡγεμονίαν. ὁ
he-will-restore him to the paternal dominion —
δὲ Μουσταφᾶς (καὶ γὰρ εἰς αὐτὸν ἐπαναδραμέτω ὁ
but Mustafa and for to him let-run-back the
λόγος) ὀχυρώσας τὸ φρούριον καὶ συντάξας καλῶς,
account having-fortified the fortress and having-arranged(-it) well
καὶ νουθετήσας τὸν δῆμον, καὶ καταστήσας δρουγγαρίους
and having-admonished the people and having-appointed droungarioi
καὶ κόμητας οἰκείους τοῦ μεγάλου στόλου, καὶ τὸν
and counts own(-men) of-the great fleet and the

πύργον τὸν ἐν τῷ λιμένι καλῶς ὡς ἐχρῆν ἀσφαλίσας,
tower the(-one) in the harbor well as was-needful having-secured
καὶ ὅρκους διδοὺς αὐτοῖς καὶ δωρεαῖς ἀμείψας, ἐν
and oaths giving to-them and with-gifts having-requited(-them) to
τῇ Ἀδριανοῦ τὴν πορείαν ἐποιεῖτο. καὶ δὴ εἰσελθὼν
the(-city) of-Hadrian the march made and indeed having-entered
ἐν τοῖς δόμοις τοῦ ἀποιχομένου Μεχεμὲτ τοῦ ἀδελφοῦ
into the halls of-the departed Mehmed the brother
αὐτοῦ, καὶ εὑρὼν θησαυροὺς ἀναριθμήτους καὶ ἑτέραν
his and having-found treasures countless and other
ἄλλην παρασκευὴν ὑπέρμετρον, ἐνδύματα καὶ λίθους
further equipment immense garments and stones
καὶ μαργάρους πολυτελεῖς, γυναῖκας ὡραίας καὶ νέους
and pearls costly women beautiful and young
παιδίσκους εὐπροσώπους καὶ κάλλει διαφέροντας καὶ
boys fair-faced and in-beauty excelling and
πᾶσαν ἄλλην ὕλην Βλαχίας, ἐκάθητο κατασπαταλῶν, καθ᾽
all other stuff of-Wallachia sat squandering by
ἡμέραν μεθύων καὶ ἀσελγαίνων. ὁ δὲ Μουρὰτ ἔτι νέος
day getting-drunk and being-licentious — and Murad still young
ὢν καὶ οὔπω τὸ εἰκοσιοστὸν ἔτος ἐλάσας ἐκάθητο ἐν
being and not-yet the twentieth year having-reached sat in
Προύσῃ τῆς Βιθυνίας καὶ αὐτὸς τὰ ὅμοια πράττων, πλὴν
Prousa — of-Bithynia and he the like(-things) doing but
οὐ τόσον· καὶ γὰρ ὑπὸ τῆς φροντίδος ἐδάκνετο, καὶ οὐκ
not so-much and for by the care he-was-bitten and not
ἔα τοῦτον ὁ λογισμὸς ἀχαλίνωτον, ἀλλ᾽ ἐσκέπτετο πῶς
let him the reasoning unbridled(-be) but he-considered how
καὶ ποίῳ τρόπῳ ἀνακαλέσηται πρὸς αὐτὸν τὴν ἡγεμονίαν
and (in)-what way he-might-recall to himself the dominion
τὴν πατρικήν, ἣν ὁ πατὴρ ἐκτήσατο διὰ πολλῶν
the paternal which the father acquired through many

κόπων, αὐτὸς δὲ ἄνευ ἐπηρείας τινὸς ἔφθασεν ἀπολέσας.
toils he but without abuse any managed having-lost(-it)
εἶχε γὰρ μετ᾽ αὐτοῦ καὶ τῶν μεγιστάνων τοὺς προύχοντας
he-had for with him also of-the magnates the leading(-men)
πλὴν τοῦ Παγιαζήτ· καὶ γὰρ πρὸ ὀλίγου κακῶς ἀπεβίω,
except — Bayezid and for before (a)-little wretchedly he-had-died
ὡς ὁ λόγος ἐδήλωσεν. μαθόντες γὰρ ὡς τὸ φρούριον τῆς
as the account showed having-learned for that the fortress —
Καλλιουπόλεως παρεδόθη καὶ ὁ Λεοντάριος κενὸς
of-Gallipoli was-handed-over and — Leontares empty-handed
ἀπεπέμφθη καὶ ὁ Μουσταφᾶς ἔτι ἀκολάστως κατασπαταλᾷ,
was-sent-away and — Mustafa still licentiously squanders
μὴ ἔχων φροντίδα πῶς δεῖ φυλάξαι τὴν ἡγεμονίαν
not having care how (one)-must to-guard the dominion
ἀσινῆ, βουλὴν βουλεύεται τὴν ἣν καὶ ὁ βασιλεὺς
unharmed counsel he-counsels the(-one) which also the emperor
ἐβουλεύσατο, καὶ πρέσβεις προφθάσας οὗτος πέμπει πρὸς
had-counseled and envoys having-anticipated this(-man) sends to
βασιλέα, Ἰπραΐμ τινα ἀδελφὸν ὑπάρχοντα τοῦ Ἀλί, ὃν
(the)-emperor Ibrahim (a)-certain brother being — of-Ali whom
ὁ λόγος φθάσας ἐδήλωσεν, ἄνδρα συνετὸν καὶ εὐήθη
the account having-earlier showed (a)-man intelligent and good-natured
καὶ πρὸς τὰς τῶν Τούρκων ἀναιδεῖς βλακείας καὶ ἀσελγείας
and to the of-the Turks shameless follies and licentiousness
ἀσυνήθη· ὃς καὶ τὰ δευτερεῖα τοῦ Παγιαζὴτ φέρων, τὰ
unaccustomed who also the second(-place) — of-Bayezid holding the
πρωτεῖα ἐκείνου παρελθόντος ἔλαβε καὶ τῶν μεγιστάνων
first(-place) that(-one) having-departed took and of-the magnates
πρῶτος ἦν καὶ μεσάζων τῆς ἡγεμονίας τοῦ Μουράτ.
first was and minister of-the dominion — of-Murad

ἐλθὼν οὖν ἐν Κωνσταντινουπόλει, καὶ περὶ μὲν τῶν
having-come then to Constantinople and about indeed the(-things)
ὧν ἔπραξεν ὁ βασιλεὺς οὐκ ἐγένετο μνήμη, ἀλλ᾽ ἐν τῷ
which did the emperor not there-was mention but in the
νοῒ διατρέφοντες θυμὸν ἀχαλίνωτον, ἕως ἂν ὁ χρόνος εἰς
mind nursing anger unbridled until — the time to
εὐδαιμονίαν ἄξει τὰ περὶ αὐτῶν, ταῦτα ἐκρύπτοντο·
prosperity should-lead the(-things) about them these were-hidden
ἱλαρῷ δὲ βλέμματι καὶ ὑπούλῳ γνώμῃ τὸν ἔνδον λύκον
with-cheerful and glance and with-deceitful mind the inside wolf
ὡς πρόβατον ἔξω ἐδείκνυε. καὶ δὴ λόγους συνάρας
as (a)-sheep outside he-showed and indeed words having-exchanged
πράους τε καὶ λίαν ταπεινοὺς βοήθειαν ἐξεκάλει, ὡς
gentle both and very humble help he-called-for that
ἐξ αἰτίας γεγονότα, ὅσα δὴ καὶ γεγόνασι, λέγων
by (a)-cause having-happened as-much-as indeed also happened saying
τοῦ Παγιαζήτ, ἀθώους αὐτοὺς ἀποδεικνύων, ὡσαύτως καὶ
— of-Bayezid guiltless them showing likewise also
Ῥωμαίους, λέγων „εἰ θελήσει τὸ σὸν κράτος, ὡς ἐν ὀλίγῳ
(the)-Romans saying if will-wish the your power as in (a)-little
ἀποκαταστήσεις πάλιν εἰς πατρικὴν ἡγεμονίαν τὸν ἐμὸν
you-will-restore again into (the)-paternal dominion the my
δεσπότην Μουράτ, καθὼς καὶ ἐν τῷ πατρὶ αὐτοῦ
master Murad as also in(-the-case-of) the father his
εἰργάσω, λαμπρότατε βασιλεῦ. ἔχεις γὰρ ὑπὸ τὴν χεῖρα
you-wrought most-illustrious emperor you-have for under the hand
τὸ πηδάλιον, καὶ ὅπου ἂν βούλῃ, ἐκεῖ καὶ τὴν ναῦν
the rudder and wherever — you-wish there also the ship
μεταστρέφεις, καλῶς ἰθύνων τοὺς οἴακας. ὡς γὰρ εἰργάσω
you-turn well steering the helms as for you-wrought
ἐν τῷ πατρὶ αὐτοῦ, ἀντιστάντος τῷ σῷ κράτει
in(-the-case-of) the father his having-resisted to-the your power

Μωσῆ, οὕτω καὶ νῦν συμπάσχησον, καὶ μὴ ἐάσῃς τὴν
Musa so also now suffer-with(-us) and not let the
ἡγεμονίαν κατέχειν ὁ μηδεμιᾶς καλύβης ἄξιος." καὶ
dominion to-hold the(-one) of-no but worthy and
γὰρ ὁ πολλάκις προλεχθεὶς Μεχεμὲτ ἔτι ἡγεμονεύων ἐν
for the often aforesaid Mehmed still ruling in
τῇ ἀνατολῇ, τοῦ Μωσῆ τότε τὴν ἡγεμονίαν τῆς Θρᾴκης
the east — Musa then the dominion — of-Thrace
ἔχοντος καὶ τὸν ἀδελφὸν Μουσουλμὰν κτείναντος, ἐναντίος
having and the brother Musulman having-killed hostile
ἐφάνη Ῥωμαίοις καὶ τῆς πόλεως ἐχθρὸς ἄσπονδος, ὡς
appeared to-(the)-Romans and of-the city enemy implacable as
προλέλεκται. τότε ὁ βασιλεὺς μετακαλεσάμενος ἀπὸ τῆς
has-been-said-before then the emperor having-summoned from —
Προύσης τὸν Μεχεμὲτ καὶ πίστεις δούς, εἰσάξας
Prousa — Mehmed and pledges having-given having-brought-in
αὐτὸν ἐντὸς τῆς Κωνσταντίνου σὺν τοῖς στρατεύμασι
him within — Constantine's(-city) with the armies
περαιωθέντα· καὶ ἐξελθὼν καὶ μίαν, καὶ δὶς καὶ πολλάκις,
having-crossed and having-gone-out both once and twice and often
καὶ συμμίξας τῷ Μωσῇ καὶ ἡττηθείς, καὶ εἰσελθὼν
and having-engaged — Musa and having-been-defeated and having-entered
πάλιν ἐν Κωνσταντινουπόλει καὶ πάλιν ἐξελθών, ἕως οὗ
again into Constantinople and again having-gone-out until —
εἰς τέλος τὸν Μωσῆν ἠφάνισεν καὶ τέλος ἐθανάτωσεν τὴν
to (the)-end — Musa he-destroyed and finally killed the
ἡγεμονίαν λαβών. „οὕτω καὶ νῦν" φησίν, „ὦ βασιλεῦ,
dominion having-taken so also now he-says O emperor
ἔργασον καὶ εἰς τὸν Μουράτ, τάττων καὶ ὑπερμεγέθη
work also toward — Murad promising also enormous
δωρήματα καὶ πολλοῦ λόγου ἄξια, πλὴν τῆς Καλλιουπόλεως
gifts and of-much account worthy except — of-Gallipoli

καὶ τῶν δύο παίδων τὴν ἐγχείρισιν.” ὁ δὲ βασιλεὺς οὐκ
and of-the two boys the handing-over — but emperor not
ἐνεδίδου, ἀλλ᾽ εἰς βέβαιον καὶ ἀμετάθετον ἐτήρει τὴν αὐτοῦ
yielded but to firm and unalterable kept the his
γνώμην, καὶ εἰς τέλος ἐξεῖναι τὰ βουλευόμενα. ἐν
resolve and to (the)-end to-come-out the(-things) being-planned in
τούτοις ὄντες, καὶ ὁ Ἰπραΐμ ἡμέρας ἱκανὰς ἐνδιατρίβων τοῦ
these being also — Ibrahim days many spending —
λαβεῖν τέλος τῶν ὧν ἐζήτει συμφωνιῶν, ἕτερος εἰσπηδήσας
to-take (an)-end of-the which he-sought agreements another having-leaped-in
ὡς ἐπὶ παλαίστρας, τὸ ζητούμενον παρὰ τοῦ βασιλέως
as onto (a)-wrestling-ground the(-thing) sought from the emperor
μετὰ πολλῆς παρακλήσεως γενέσθαι καὶ φιλοτιμίας καὶ
with much entreaty to-happen and generosity and
χάριτος αὐτὸς ὡς δῶρόν τι μέγα τὴν ὑπηρεσίαν ταύτην
favor himself as (a)-gift some great the service this
ἐγχειρισθῆναι αὐτῷ παρεκάλει. καὶ δὴ ἐξ ἀρχῆς
to-be-entrusted to-him begged and indeed from (the)-beginning
ποίῳ τρόπῳ διέβη τὸν πορθμὸν ὁ Μουρὰτ καὶ μετὰ
(in)-what way crossed the strait — Murad and with
πόσης παρασκευῆς, καὶ τίς ὁ περάτης, καὶ ποῦ τὴν
how-much equipment and who the ferryman and where the
θάλασσαν ἐπέρασε, καὶ τίνες οἱ ναύαρχοι, λέξων ἔρχομαι.
sea he-crossed and who the admirals going-to-tell I-come
Ἐν τῇ Φωκαίᾳ τῇ κατὰ τὴν Ἰωνίαν πλησίον ὄρος
in the Phokaia the(-one) in — Ionia near (a)-mountain
ἦν ἐν ᾧ μέταλλον στυπτηρίας ὑπάρχει, καὶ ὁ λίθος
was in which (a)-mine of-alum is and the stone
ἅπας τῆς ἀκρωρείας πυρὶ προσομιλήσας, εἶτα ὕδατι
all of-the ridge with-fire having-consorted then with-water
ὡς ψάμμος γίνεται· τὴν δὲ ἀπὸ τοῦ λίθου γενομένην
like sand becomes the and from the stone having-become

ψάμμον εἰς λέβητα βάλλοντες σὺν ὕδατι καὶ καχλάζοντος
sand into (a)-cauldron throwing with water also bubbling
οὐ τόσον, ἡ βληθεῖσα ψάμμος διαλύεται καὶ τὸ μὲν
not so-much the thrown sand dissolves and the indeed
παχὺ καὶ οὐσιῶδες αὐτῆς ἐν τῷ ζωμῷ μένον ὡς γάλα
thick and substantial of-it in the broth remaining like milk
τυρῶδες, τὸ ξηρὸν καὶ γεῶδες αὐτῆς ἔξω ῥίπτουσιν
cheesy the dry and earthy of-it outside they-throw
ὡς ἄχρηστον, τὸν δὲ ζωμὸν εἰς σκάφας κενώσαντες
as useless the and broth into troughs having-emptied
ἄχρις ἡμερῶν τεσσάρων παραδρομήν, εὑρίσκεται ἐν τοῖς
until days four (the)-passing is-found at the
ἄκροις τῶν ὑποδόχων ἀγγείων πεπαγιωμένος ὁ ζωμὸς
edges of-the receiving vessels congealed the broth
καὶ ὑπεραυγίζων ὁμοίως κρυστάλλῳ· ἐν δὲ τῷ πυθμένι
and shining like crystal at and the bottom
τοῦ ἀγγείου καὶ αὐτῷ πλῆρες ψηγμάτων κρυσταλλοειδῶν.
of-the vessel also itself full of-flakes crystal-like
ἐξαντλοῦντες οὖν τὸν ζωμὸν τὸν περιττεύοντα μετὰ τὰς
draining then the broth the(-one) remaining after the
τέσσαρας ἡμέρας εἰσβάλλουσιν ἐν τῷ λέβητι, προσχέαντες
four days they-throw-in in the cauldron having-poured-on
καὶ ἕτερον ὕδωρ, καὶ πάλιν ψάμμον ἐμβάλλοντες βράζουσιν
also other water and again sand throwing-in they-boil
καὶ ἐν ταῖς σκάφαις ἐκχέουσιν, ὡς προδεδήλωται, τὴν δὲ
and into the troughs pour-out as has-been-shown-before the and
στυπτηρίαν ἐκβάλλοντες ἐν ταῖς ἀποθήκαις ταμιεύουσι.
alum taking-out into the storehouses they-store
ἔστι δὲ ἀναγκαῖον χρῆμα τοῖς δευσοποιοῖς· ἅπασαι γὰρ αἱ
it-is and (a)-necessary thing for-the dyers all for the
νῆες αἱ ἀπὸ τῆς ἑῴας εἰς τὰ ἑσπέρια μέρη πλέουσαι
ships the(-ones) from the east to the western parts sailing

ἀναγκαῖον ἡγοῦνται τὸν φόρτον εἶναι τῆς νηὸς τὴν
necessary consider the cargo to-be of-the ship the(-alum)
ἐν τῷ πυθμένι στυπτηρίαν· καὶ γὰρ Φράγγοι Γερμανοὶ
in the bottom alum and for Franks Germans
Ἰγγλῆνοι Ἰταλοὶ Ἱσπανοὶ Ἄραβες Αἰγύπτιοι Σύροι ἀπὸ
English Italians Spaniards Arabs Egyptians Syrians from
τοῦ ὄρους ἐκείνου τὴν στυπτηρίαν πορίζονται ἕνεκα τῶν
the mountain that the alum procure for-the-sake of-the
δευσοποιῶν τεχνῶν. ἐν ταῖς ἡμέραις δὲ τοῦ βασιλέως
dyeing crafts in the days and of-the emperor
Μιχαὴλ τοῦ Παλαιολόγου, τοῦ πρώτως βασιλεύσαντος
Michael the Palaiologos the(-one) first having-reigned
ἐν Παλαιολόγοις, ἦλθόν τινες Ἰταλοὶ αἰτοῦντες τὸ ὄρος
among (the)-Palaiologoi came some Italians asking the mountain
δοθῆναι αὐτοῖς καὶ λαμβάνειν κατ' ἔτος τὸ συμφωνηθέν.
to-be-given to-them and to-take by year the(-sum) agreed
τότε καὶ οἱ Τοῦρκοι ἐνεδρεύοντες ἦσαν λῃστρικῶς τὰ
then also the Turks lying-in-wait were piratically the
πέριξ μέρη Λυδίας τε καὶ Ἀσίας, καὶ κατέτρεχον ἕως
surrounding parts of-Lydia both and of-Asia and overran(-them) up-to
Σάρδεων καὶ αὐτῆς Μαγνησίας. ὡς οὖν ᾔσθοντο οἱ Ἰταλοὶ
Sardis and itself Magnesia when then perceived the Italians
τὴν τῶν Τούρκων ἔφοδον, φοβηθέντες ἤρξαντο οἰκοδομεῖν
the of-the Turks attack having-feared they-began to-build
φρούριόν τι σμικρότατον, ὅσον εἰς φυλακὴν αὐτῶν
(a)-fortress some very-small as-much-as for (the)-guarding of-themselves
καὶ τῶν εὑρισκομένων ἐργατῶν πεντήκοντα ἢ καὶ πλείω.
and of-the being-found workmen fifty or even more
ἐνωτισθέντες δὲ οἱ τὰ πέριξ οἰκοῦντες Ῥωμαῖοι ἔν
having-heard and the(-ones) the surroundings inhabiting Romans in
τε τῷ κάμπῳ τοῦ Μαινομένου καὶ τῆς Μαγνησίας καὶ
both the plain of-the Menemen and of-the Magnesia and

Νυμφαίου, ἐλθόντες εὗρον αὐτοὺς ἄρξαντας τοῦ ἔργου,
of-Nymphaion having-come found them having-begun the work
καὶ δὴ ὡς ἐκ συνθήματος κοινολογησάμενοι σὺν τοῖς
and indeed as by agreement having-conferred with the
Λατίνοις ὑπέσχοντο τοῦ συμβοηθῆσαι καὶ συμπασχῆσαι καὶ
Latins promised — to-help and to-suffer-with and
συμπρᾶξαι ἐπὶ τῇ ἀνεγέρσει τοῦ φρουρίου, καὶ οὐ φρούριον
to-act-with(-them) in the raising of-the fortress and not (a)-fortress
ἀλλὰ καὶ εἰς μεγάλην πόλιν ἀποκαταστῆσαι τὸ
but even into (a)-great city to-make the(-thing)
οἰκοδομούμενον, εἰ μόνον χρείας κατεπειγούσης καὶ αὐτοὶ ὡς
being-built if only (in)-need pressing and they as
κτήτορες τοῦ τοιούτου χωρίου ἔσονται ἐντὸς φυλαττόμενοι.
owners of-the such place would-be within being-guarded
ἀρεσάντων γοῦν ἄμφω τῶν μερῶν τὸ τοιοῦτον
having-pleased at-any-rate both — sides the such
συμφώνημα, ἤρξαντο ἅμα Ῥωμαῖοί τε καὶ Λατῖνοι, καὶ
agreement began together Romans both and Latins and
ᾠκοδόμησαν τὴν ἄχρι τοῦ νῦν παρὰ θεοῦ φρουρουμένην
built the(-city) until the now by God guarded
νέαν Φώκαιαν, ἐν τῇ τοῦ αὐτοῦ ὄρους ὑποβάσει, πλησίον
New Phokaia at the of-the same mountain foot near
τῆς θαλάσσης, ἔχουσαν τὰ πρὸς τὴν ἀνατολὴν μέρη
the sea having the toward the east parts
τὸ ὄρος κείμενον, πρὸς δὲ τὴν ἑσπέραν τὴν νῆσον
the mountain lying toward and the west the island
Λέσβον, πρὸς ἄρκτον δὲ τὸν τῆς Ἐλαίας κόλπον· πρὸς
Lesbos toward (the)-north and the of-the Elaia gulf toward
δὲ μεσημβρίαν ὁ κατ᾽ Ἰωνίαν κόλπος. ἦσαν δὲ οἱ
and (the)-south the along Ionia gulf were and the
ῥηθέντες τῆς πόλεως αὐτῆς κτήτορες ἐκ τῶν Κατανέων
said of-the city itself founders of the Cattanei

Γενουῖται Ἀνδρέας καὶ Ἰάκωβος, καὶ τὴν ἐπωνυμίαν ἐκ
Genoese Andrea and Giacomo and the name from
τῆς παλαιτέρας Φωκαίας ἐκτήσατο, ταύτην νέαν Φώκαιαν
the older Phokaia it-acquired this(-city) New Phokaia
καλέσαντες, ἐν ᾗ καὶ οἴκησιν κέκτημαι. μεταπεσόντων
having-called in which also (a)-dwelling I-have having-changed
οὖν πραγμάτων ἀπὸ Ῥωμαίους ἐν χερσὶ τῶν Τούρκων
then (the)-affairs from (the)-Romans into (the)-hands of-the Turks
μετ᾽ οὐ πολύ, οἱ εὑρισκόμενοι ἐν τῇ πόλει μὴ φέροντες
after not long the(-ones) being in the city not bearing
τὰς καθ᾽ ἑκάστην συμπλοκὰς τῶν Τούρκων καὶ τὰς τῶν
the by each(-day) engagements of-the Turks and the of-the
Χριστιανῶν σφαγὰς (καὶ γὰρ ἦσαν ἄχρι καὶ τῶν πυλῶν
Christians slaughters and for were up-to even the gates
τῆς πόλεως ἐγκρατεῖς γεγονότες οἱ Τοῦρκοι), ἄμφω Λατῖνοί
of-the city masters having-become the Turks both Latins
τε καὶ Ῥωμαῖοι συνθήκας ἐνόρκους ποιήσαντες μετὰ τοῦ
both and Romans treaties sworn having-made with the
ἀρχηγοῦ τῆς Λυδίας Σαρχὰν καὶ ὑποφόρους στέρξαντες
leader — of-Lydia Saruhan and tributary having-agreed
εἶναι, ἔστησαν κατ᾽ ἔτος δοῦναι τῷ Σαρχὰν ἀργυρίων
to-be they-fixed by year to-give — to-Saruhan of-silver
λεπτῶν ἀριθμὸν χιλιάδων δεκαπέντε, εἰς ποσότητα
small(-coins) (a)-number of-thousands fifteen to (an)-amount
ἰσουμένην νομισμάτων πεντακοσίων, καὶ ἀνὰ ἔτος ὁ
equal of-coins five-hundred and each year the
τυχὼν ἡγεμὼν τῆς πόλεως ἐξέρχεσθαι καὶ ἀσπασμὸν
chance leader of-the city to-go-out and greeting
ποιεῖν τῷ ῥηθέντι ἀρχηγῷ σὺν δώροις ἀργυρίων χιλιάσι
to-make to-the said leader with gifts of-silver(-pieces) thousands
δέκα, καὶ οὕτω ἐν εἰρήνῃ διάγειν ὁμοῦ Τοῦρκοί τε καὶ
ten and so in peace to-live together Turks both and

Ῥωμαῖοι, μὴ ἔχοντες τὸν τυχόντα πειρασμὸν παρά τινος,
Romans not having the chance trial from anyone
ἀλλ' ἐξέρχεσθαι ἀκωλύτως καὶ ἐμπορεύεσθαι, ὁμοίως καὶ
but to-go-out unhindered and to-trade likewise also
οἱ Τοῦρκοι εἰσέρχεσθαι ἀφόβως ἐν τῇ πόλει καὶ τῶν
the Turks to-come-in fearlessly into the city and of-the
ἀναγκαίων ἀφθόνως ἀπολαμβάνειν, ὡς φίλοι συνδιάγοντες.
necessities abundantly to-receive as friends living-together
κρατεῖ οὖν ἡ τοιαύτη συμφωνία ἕως σήμερον, ἐγγύς που
prevails then the such agreement until today near somewhere
ἔκτοτε μέχρι νῦν ρπ΄ ἔτη τυγχάνοντα. ἡ δὲ ἡγεμονία τῆς
from-then until now 180 years being the and dominion of-the
αὐτῆς πόλεώς ἐστιν οὕτως. ἐπεὶ ἡ Γενοῦα δημοκρατικῶς
same city is thus since — Genoa democratically
ἄρχεται καὶ οὐδεὶς δύναται τυραννικῶς ἄρχειν ἐν αὐτῇ,
is-ruled and no-one can tyrannically to-rule in it
σύνηθές ἐστι κατ' ἔτος ἢ καὶ πλείονα καιρὸν στέλλειν
customary it-is by year or also longer time to-send
ὀφφικιαλίους εἰς τὰ τῆς ἑῴας μέρη ἐν ταῖς ὑπὸ τὴν
officials to the of-the east parts in the under —
Γενοῦαν πόλεσι, οἷον ἐν νήσῳ Χίῳ, ἐν ταύτῃ τῇ Φωκαίᾳ,
Genoa cities such-as in (the)-island Chios in this the Phokaia
ἐν τῷ Γαλατᾷ, ἐν τῇ Ἀμισῷ, ἐν τῇ Ἀμάστριδι, ἐν Καφᾷ.
in the Galata in the Amisos in the Amastris in Kaffa
καὶ τοῦ καιροῦ παρελθόντος τοῦ ὡρισμένου ἕτερον αὖθις
and the time having-passed the(-one) fixed another again
στέλλουσι, καὶ ὁ παλαιὸς ἔξεισι παραχωρῶν τὴν καθέδραν
they-send and the old(-one) goes-out yielding the seat
τῷ νέῳ· ὃν καὶ ποδεστὰν κατὰ τὴν αὐτῶν γλῶτταν
to-the new(-one) whom also podestà in the their tongue
καλοῦσιν, ἐξουσιαστὴν εἴποι τις κατὰ Ῥωμαίους.
they-call (a)-governor might-say one in-the-manner-of (the)-Romans

ἐν δὲ ταῖς ἡμέραις ἐκείναις, ἔτι ζῶντος τοῦ Μεχεμέτ,
in and the days those still living — Mehmed
ἦλθεν ἀπὸ Γενούας ποδεστὰς εἷς, ὢν τῶν ἐνδοξοτάτων
came from Genoa (a)-podestà one being of-the most-distinguished(-men)
τῆς Γενούας, Ἰωάννης Ἀδοῦρνος ὀνόματι, νέον ἄγαν τὸ
of-the Genoa Giovanni Adorno by-name young very the
ἔτος καὶ παλαιὸν φρόνημα, σὺρ Γεωργίου Ἀδούρνου υἱός,
year and old (the)-mind of-sir Giorgio Adorno (the)-son
ὃς καὶ δοὺξ Γενούας ἐχρημάτισεν· ἐν δέκα δὲ ἔτεσιν
who also doge of-Genoa was-styled for ten and years
τὴν ποδεστατίαν ἐγχειρισθεὶς ἐπανῆκεν ἐκ Γενούας εἰς
the podestà-ship having-been-entrusted he-returned from Genoa to
Φώκαιαν. καὶ δὴ κατὰ τὸ παλαιὸν ἔθος ἐξελθὼν
Phokaia and indeed according-to the old custom having-gone-out
καὶ μετὰ τοῦ ἀμιρᾶ Μεχεμὲτ ἐντυχὼν καὶ τελέσας τὴν
and with the emir Mehmed having-met and having-performed the
συνήθη προσκύνησιν, τέλος καὶ τὸ τῆς στυπτηρίας
customary obeisance (the)-tax also the(-one) of-the alum
μετάλλου λαβών, ὡς κατ᾽ ἔτος ἀποδοῦναι εἴκοσιν
mine having-taken (on-terms)-that by year to-render twenty
χιλιάδων ἀριθμὸν νομίσματα καθαροῦ χρυσίου ἐν ἔτεσι
thousands' number coins of-pure gold in years
δέκα, εἰς τὴν Φώκαιαν ἐπανέστρεψεν μεταλλεύειν ἀρξάμενος
ten to the Phokaia he-returned to-mine having-begun
σὺν ἀναλώμασι πλείστοις. περαιουμένων τοίνυν ἐτῶν ἓξ
with expenses very-great being-completed therefore years six
καὶ τὸ τέλος τοῦ προρρηθέντος ἀμιρᾶ ἔφθασε, καὶ ἡ
also the end of-the aforesaid emir came and the
ἀνάρρησις τοῦ προλεχθέντος Μουσταφᾶ ἐγεγόνει, καὶ ὁ
proclamation of-the aforesaid Mustafa had-happened and —
Τζινεὶτ τὴν ἐλπιζομένην αὐτῷ χαίρων ἴδεν ἡμέραν, καὶ
Cüneyd the hoped-for by-him rejoicing saw day and

ὁ Παγιαζὴτ τὴν ἀπαίσιον αὐτῷ ἴδεν ὥραν, καὶ πάντα
— Bayezid the ill-omened for-him saw hour and all(-things)
ἃ γέγραφα γεγόνασι. τότε ὁ ῥηθεὶς Ἰωάννης Ἀδοῦρνος
which I-have-written happened then the said Giovanni Adorno
ἔχων ἀφορμὴν τοῦ ἀφικέσθαι πρὸς τὸν νέον ἀρχηγὸν τὸν
having (an)-occasion — to-come to the new leader —
Μωρὰτ καὶ ἰδεῖν καὶ προσκυνῆσαι καὶ νέα προστάγματα
Murad and to-see and to-do-obeisance and new ordinances
δέξασθαι καὶ ἀποδοῦναι τὰ ὀφειλόμενα τέλη τῶν ἓξ ἐτῶν
to-receive and to-render the owed taxes of-the six years
(εἶχε γὰρ ἐν τοῖς ἔτεσι τούτοις ζημίαν οὐ τὴν τυχοῦσαν·
he-had for in the years these loss not the chance(-one)
καὶ γὰρ ἐν αὐτοῖς τοῖς χρόνοις ἦν μάχη καρτερὰ ἀνὰ
and for in them the times was (a)-battle fierce in
μέσον Γενουιτῶν καὶ Καταλάνων, καὶ ἐκώλυον τὰς νῆας
between Genoese and Catalans and hindered the ships
τῶν Γενουιτῶν οἱ Καταλάνοι τοῦ μὴ πλέειν ἐν τοῖς μέρεσιν
of-the Genoese the Catalans — not to-sail in the parts
Ἰταλίας καὶ Φραγγίας Ἱσπανίας τε καὶ Ἰγγλήνων, καὶ ἡ
of-Italy and of-Frankland of-Spain both and of-(the)-English and the
στυπτηρία ἦν ἀργὴ καὶ ἀμετακίνητος καὶ ὁ Ἀδοῦρνος εἰς
alum was idle and unmoved and — Adorno into
πάμπολυ χρέος, καὶ οὐκ εἶχεν ὅ τι ποιῆσαι) βουλεύεται
very-great debt and not had what ever to-do he-counsels
βουλὴν γενναίαν καὶ συνετὴν ἕνεκα κέρδους αὐτοῦ, διὰ
(a)-counsel noble and intelligent for-the-sake of-profit his through
πολλῶν δὲ Χριστιανῶν βλάβην. καιρὸν γὰρ ἐπιτυχὼν
of-many and Christians harm (a)-moment for having-hit-upon
τὸν ὃν οὐκ ἤλπιζε, στέλλει γραφὰς πρὸ τοῦ ἐλθεῖν ἐξ
the(-one) which not he-hoped-for he-sends letters before — to-come from
Ἀμασείας τῷ Μουράτ, τὰς ἃς ἐγὼ γέγραφα, δεικνύων
Amaseia — to-Murad the(-ones) which I have-written showing

τὴν ἄκραν φιλίαν καὶ οἰκειότητα ἣν εἶχε πρὸς τὸν αὐτοῦ
the utmost friendship and intimacy which he-had toward the his
πατέρα τὸν Μεχεμέτ, καὶ ἣν βούλεται ἀνανεῶσαι νῦν
father — Mehmed and which he-wishes to-renew now
σὺν αὐτῷ, „εἰμὶ" γράφων „ἕτοιμος ἐν πάσῃ δουλείᾳ τοῦ
with him I-am writing ready in all service —
βοηθῆσαι, καὶ διαπερᾶσαί σε ἐξ ἀνατολῆς εἰς δύσιν ἐν
to-help and to-ferry you from east to west in
τριήρεσι καὶ νηυσί, καὶ ὑπουργῆσαι τὸ τοιοῦτον ὑπούργημα
triremes and ships and to-render the such service
ὡς οὐδεὶς τῶν ἄλλων. μόνον κέλευσόν μοι, καὶ τὸ
as no-one of-the others only order me and the(-thing)
προσταχθὲν μοι συντόμως γενήσεται." ἐνωτισθεὶς οὖν
ordered to-me speedily will-be-done having-heard then
ὁ Μουρὰτ τοὺς λόγους αὐτοῦ ἀσπασίως ἐδέξατο, καὶ
— Murad the words his gladly received(-them) and
ἀντέγραψεν εἰπὼν ὅτι „σὺν θεῷ ἐν ὀλίγαις ἡμέραις μέλλω
wrote-back saying that with God in few days I-am-about
κατελθεῖν ἐν τῇ Προύσῃ, κἀκεῖ ἐλθέτω εἷς ἐκ τῶν οἰκείων
to-come-down to — Prousa and-there let-come one of the intimate
καὶ πιστοτάτων σου, ὡς ἵνα περὶ τούτου σκέμματος
and most-trustworthy yours so that about this plan
ἴδωμεν τί ἄρα καὶ πῶς ποιήσομεν." μετὰ δέ τινας
we-may-see what then and how we-shall-do after and some
ἡμέρας στέλλει Δημήτριόν τινα Ἀγὰν ἐπονομαζόμενον,
days he-sends Demetrios (a)-certain Agan surnamed
σὺν γράμμασιν ἀξιολογωτάτοις, ἃ κἀκεῖνα ἐγὼ γέγραφα,
with letters most-noteworthy which and-those I have-written
πρός τε τὸν Μουρὰτ καὶ πρὸς τοὺς αὐτοῦ βεζίριδας
to both — Murad and to the his viziers
Ἀλίπεγιν Χατζιαηβὰτ καὶ Ὁμούρπεγιν· ὁ γὰρ Παγιαζὴτ
Ali-bey Hacı-Ivaz and Umur-bey — for Bayezid

προεσφάγη παρὰ τοῦ Μουσταφᾶ. τότε σὺν τῷ
had-been-slaughtered-before by — Mustafa then with —
Δημητρίῳ ἅπαντα καλῶς διαταξάμενοι στέλλουσι μετ᾽
Demetrios all(-things) well having-arranged they-send with
αὐτοῦ Χατήπην ὀνόματι, Τοῦρκον ἕνα τῶν φρονιμωτάτων
him Hatib by-name (a)-Turk one of-the most-prudent
καὶ τῶν ἐλλογίμων, ὅρκον δώσοντα τῷ Ἀδούρνῳ καὶ
and of-the learned (an)-oath going-to-give — to-Adorno and
σὺν αὐτῷ νομίσματα χιλιάδας πεντήκοντα τοῦ ῥογεῦσαι
with him coins thousands fifty — to-pay
καὶ ἀπαρτίσαι στόλον, τοῦ περᾶσαι τὸν πορθμὸν τῆς
and to-equip (a)-fleet — to-cross the strait —
Καλλιουπόλεως ἤδη τοῦ φθινοπώρου ἄρξαντος.
of-Gallipoli already the autumn having-begun
Ὁ δὲ Μουσταφᾶς μαθὼν τὰ μελετηθέντα παρὰ τοῦ
— and Mustafa having-learned the(-things) planned by —
Μωράτ, καὶ πῶς ἡ νέα Φώκαια ἑτοιμάζει στόλον κατ᾽
Murad and how the New Phokaia prepares (a)-fleet against
αὐτοῦ, εἶχε μὲν ὀδύνας ἐν καρδίᾳ καὶ ἐδάκνετο ὑπὸ τοῦ
him had indeed pains in heart and was-bitten by the
λογισμοῦ, καὶ τὴν Φώκαιαν συνεχῶς ἐπὶ γλώττης εἶχεν,
reasoning and the Phokaia continually on tongue had
καὶ καταστροφὴν αὐτῆς ἐμελέτα, ἀλλὰ τὸ τρυφᾶν καὶ
and (the)-overthrow its planned but the to-live-luxuriously and
κατασπαταλᾶν καὶ μεθύειν οὐκ ἔλειπεν, ἀγριαίνων ὡς
to-squander and to-get-drunk not he-ceased growing-wild like
ἵππος ἀγέρωχος καταχρεμετίζων καὶ ἀσελγαίνων ἔν τε
(a)-horse high-spirited neighing and being-licentious with both
θηλείαις καὶ ἄρρεσιν. ὁ δὲ Τζινεὴτ ἀκούων ταῦτα καὶ
females and males — and Cüneyd hearing these(-things) and
καραδοκῶν τὰ μέλλοντα, καὶ ὁρῶν τὸν Μουσταφᾶν ἐν
awaiting the(-things) to-come and seeing — Mustafa in

βλακείαις ζῶντα, καὶ περὶ οὐδενὸς αὐτῷ μνεία ἢ πολέμου
follies living and about nothing to-him mention either of-war
ἢ ἄλλης παρασκευῆς κατ᾽ ἐχθρῶν, εἴσεισιν ἐν τῷ παλατίῳ
or other preparation against enemies enters into the palace
τοῦ Μουσταφᾶ, καὶ λόγους ἤρξατο λέγειν πρὸς αὐτὸν
— of-Mustafa and words began to-say to him
ὀνειδιστικοὺς τούσδε. „οὐκ οἶδας, ὦ ἡγεμών, ὅτι τὴν
reproachful these not you-know O leader that the(-land)
ἣν οἰκοῦσι Θρᾷκες γῆν καὶ μόνην κατέχομεν, τὰ δὲ λοιπὰ
which inhabit Thracians land also alone we-hold the and rest
ἄπλετα πελάγη τῶν ἐπαρχιῶν, λέγω τῆς δύσεως, πάντα
boundless seas of-the provinces I-mean of-the west all
ἐν τρυτάνῃ ἀπῃωρημένα εἰσί, προσδοκῶντες τὸ μέλλον,
in (a)-balance suspended are expecting the future
τί ἂν ἀποβῇ; καὶ γὰρ ἤκουον ὡς ὁ Μωρὰτ ἐν λόγοις
what — may-turn-out and for they-heard that — Murad in talks
ἦν σὺν τῷ βασιλεῖ τοῦ ἀντιλαβέσθαι τούτου καὶ εἰσάξαι
was with the emperor — to-take-up him and to-bring-in
εἰς τὴν ἡγεμονίαν τὴν πατρικήν, νῦν δὲ καὶ σὺν τοῖς
into the dominion the paternal now and also with the
Φράγκοις διέθετο, τὰ δὲ τῆς ἕω ἐν χερσὶ πάντα
Franks he-has-arranged the(-things) and of-the east in hands all
ἦν. ἡμεῖς οὖν ἐν Ἀδριανοῦ καθέζοντες ἀμερίμνως οὐδὲν
were we then in (the)-(city)-of-Hadrian sitting carelessly nothing
στρατηγικὸν πράττομεν. ὡς ἐμοὶ γοῦν δοκεῖ, πρὸ τοῦ
generalship-like do as to-me at-any-rate it-seems before —
περᾶσαι τοὺς ἐχθροὺς τὸν πορθμὸν κἂν τε Λαμψάκου κἂν
to-cross the enemies the strait whether — of-Lampsakos or
τε Σκουταρίου, καὶ δοῦναι θροῦν ἐν ταῖς ἐπαρχίαις τῆς
— of-Skoutari and to-give (a)-murmur in the provinces of-the
δύσεως, καὶ γενέσθαι διχόνοιαν ἐν τῷ στρατῷ, κρεῖττόν
west and to-arise discord in the army better

ἐστι προλαβόντας ἡμᾶς σὺν τοῖς δυτικοῖς στρατεύμασι
it-is having-anticipated(-them) us with the western armies
διαβῆναι, καὶ σὺν τάχει ἀόκνως περᾶσαι τὴν ἐν
to-cross and with speed unhesitatingly to-cross the(-bridge) at
Λοπαδίῳ γέφυραν, καὶ τῷ Μουρὰτ συμπλακῆναι. ἡμεῖς
Lopadion bridge and — with-Murad to-engage we
θεοῦ εὐδοκοῦντος καὶ ἐν ἅρμασι καὶ ἐν ἵπποις ὑπερέχομεν
God being-pleased both in arms and in horses surpass
τοὺς ὑπεναντίους, καὶ μόνον ἐνωτισθέντες τὴν ἡμετέραν
the opponents and only having-heard the our
ἄφιξιν ὁ νοῦς αὐτῶν ὡς κάλαμος συντριβήσεται καὶ αἱ
arrival the mind their like (a)-reed will-be-crushed and the
βουλαὶ αὐτῶν διασκεδασθήσονται, καθὼς μέλλει γενέσθαι
counsels their will-be-scattered as is-about to-happen
καὶ εἰς ἡμᾶς, εἴπερ ἀμελήσαντες δώσομεν αὐτοῖς χώραν
also to us if having-neglected(-it) we-shall-give to-them room
διαπερᾶσαι." ταῦτα εἰπὼν καὶ ἄλλα πλείω ὁ Τζινεήτ,
to-cross these(-things) having-said and other more — Cüneyd
μόλις ἀνανήψας ἐκ τοῦ κάρους τῆς μέθης ὁ Μουσταφᾶς
scarcely having-sobered-up from the stupor of-the drunkenness — Mustafa
ἐπείθετο τοῖς λόγοις αὐτοῦ. ὁ γὰρ Τζινεὴτ οὐκ ἐτεχνάζετο
was-persuaded by-the words his — for Cüneyd not was-contriving
τόσον ὑπὲρ τοῦ Μουσταφᾶ, τὸ ἐγκαθιδρύσαι αὐτὸν ἐν
so-much for — Mustafa the to-establish him in
τῇ ἑῴᾳ ἄρχοντα· ἀλλὰ πονηρὸς ὢν καὶ προβλέπων τὴν
the east ruler but wicked being and foreseeing the
τοῦ ἀνδρὸς ὡς ἐν τάχει γενομένην κατάλυσιν ὑπέρ τε
of-the man as in speed coming dissolution for both
τῆς αὐτοῦ βλακείας καὶ μέθης καὶ ἀσελγείας καὶ τὸ
the his folly and drunkenness and licentiousness and the
ἀστρατήγητον αὐτοῦ, ἠβουλήθη τοῦ διαδρᾶσαι.
lack-of-generalship his he-wished — to-run-away

καὶ ὄντος αὐτοῦ ἐν τῷ τοιούτῳ σκοπῷ, ἐλογίζετο ἐν
and being he in the such aim he-reckoned in
ἑαυτῷ ὅτι εἰ μὲν ἐν τῇ Θρᾴκῃ ἢ ἄλλῃ ἐπαρχίᾳ τῆς
himself that if indeed in — Thrace or other province of-the
δύσεως τοῦτο μεταχειρίζεται, εὐκόλως ἐμπεσεῖται πάλιν
west this he-attempts easily he-will-fall again
ἐν τοῖς ἄρκοις τοῦ βασιλέως, καὶ πάλιν Λῆμνος ἢ ἑτέρα
into the nets of-the emperor and again Lemnos or another
νῆσος αὐτὸν ἐξόριστον διαδέξεται, καὶ πικρὰ παρὰ τῶν
island him (as)-exile will-receive and bitter from the
Ῥωμαίων εἰς αὐτὸν διέλθῃ ποινή. ἐν δὲ τῇ ἀνατολῇ καὶ
Romans upon him may-come punishment in but the east also
κατὰ νοῦν εἶχε καὶ ἔτρεφε τὸν ἄνδρα ἡ τῆς ἐπαρχίας
in mind had and nourished the man the of-the province
ἐλπὶς ἣν καὶ πρώην ἦρχε, καὶ εὐκόλως τὸ ἀποδρᾶσαι
hope which also formerly he-ruled and easily the to-run-away
ἔχειν. ἀλλὰ ταῦτα ἐν μυχοῖς τοῦ Ἅιδου ἐκρύπτετο. καὶ
to-have but these(-things) in (the)-recesses of-the Hades were-hidden and
δὴ συναθροίσαντες τὸν στρατὸν καὶ ταχυδρομήσαντες
indeed having-gathered the army and having-hastened
ἦλθον εἰς Καλλιούπολιν, καὶ τὸν πορθμὸν διαβάντες
they-came to Gallipoli and the strait having-crossed
σὺν πλείστῃ δυνάμει προσεκαρτέρησαν ἐν τῇ Λαμψάκῳ
with very-great force waited in — Lampsakos
ἡμέρας τρεῖς. ἐρχόμενοι δὲ οἱ τῶν πέριξ πόλεων
days three coming and the(-men) of-the surrounding cities
προύχοντες Φρύγες προσεκύνουν τῷ Μουσταφᾷ. ὁ δὲ
leading Phrygians did-obeisance — to-Mustafa — and
Μωρὰτ ἀκούσας τὴν ἔφοδον τοῦ Μουσταφᾶ, ἀπάρας ἐκ
Murad having-heard the attack — of-Mustafa having-set-out from
τῆς Προύσης σὺν εὐαριθμήτῳ στρατῷ διὰ νυκτὸς ἦλθεν εἰς
— Prousa with (an)-easily-counted army by night came to

τὸ Λοπάδιον, ἔχων σὺν αὐτῷ τοὺς ἐν γνώσει καὶ πολέμῳ
the Lopadion having with him the(-men) in knowledge and war
ἐπιστατοῦντας, τόν τε Χατζιαηβάτην καὶ τοὺς υἱοὺς τοῦ
presiding both — Hacı-Ivaz and the sons —
Τεμιρτές πεγι, Ἀλὶν Ὁμοῦρ καὶ Ὁροῦτζ πεγιν, ἄνδρας
of-Timurtaş bey Ali Umur and Oruç bey men
γενναίους καὶ ἀρίστους. ἦν δὲ σὺν αὐτοῖς καὶ Χαμζάπεγις
noble and best was and with them also Hamza-bey
ἀδελφὸς τοῦ Τζινεήτ, ὃς ἐκ παιδόθεν ἦν διάγων μετὰ
brother — of-Cüneyd who from childhood was living with
τοῦ Μωράτ. φθάσαντες οὖν ἐν τῇ γεφύρᾳ πρὸ τοῦ τὸν
— Murad having-arrived then at the bridge before the —
Μουσταφᾶν σῶσαι, λύουσιν αὐτήν, καὶ ἄβατον τὴν πρὸς
Mustafa to-arrive they-break it and impassable the to
αὐτοὺς ὁδὸν τοῖς ὑπεναντίοις ἐποίησαν. ἐλθὼν δὲ καὶ ὁ
them road for-the opponents made having-come and also —
Μουσταφᾶς σὺν τοῖς στρατεύμασιν ἔπηξε τὰς σκηνὰς ἐν τῇ
Mustafa with the armies pitched the tents on the
ὄχθῃ τῆς λίμνης· ὁμοίως καὶ ὁ Μωρὰτ ἐν τῇ περαίᾳ καὶ
bank of-the lake likewise also — Murad on the opposite-side also
αὐτὸς τενιώσας ἐκάθητο, μὴ ἔχων ἕκαστος τὸ τυχὸν δέος
he having-encamped sat not having each the chance fear
παρὰ τοῦ ἑτέρου. καὶ γὰρ τὸ λῦσαι τὴν γέφυραν μεγάλης
from the other and for the to-break the bridge of-great
βουλῆς ἔργον ἦν· εὑρόντες γὰρ οἱ ἐλθόντες τὴν γέφυραν
counsel (a)-work was having-found for the(-men) having-come the bridge
κατεαγμένην ἐκωλύθησαν τὴν πορείαν, οἱ δὲ τοῦ
broken were-bindered (in)-the march the(-men) and —
Μωρὰτ ἀτρόμως συνηθροίζοντο. ἦν γὰρ τὸ ῥεῦμα βαθὺ καὶ
of-Murad fearlessly were-gathered was for the stream deep and
παντάπασιν ἄπλετον· ἢν δὲ βουληθείη τις τοῦ περιοδεῦσαι
altogether boundless if and should-wish anyone — to-go-around

τὴν λίμνην ἅπασαν καὶ ἐλθεῖν εἰς τὴν ἀντιπέραν, οὐκ
the lake whole and to-come to the opposite(-side) not
ἀρκέσουσιν αὐτῷ ἡμερῶν τριῶν ὧραι. καὶ ταῦτα στενωπὰ
will-suffice for-him of-days three hours and that(-with) narrow
καὶ τραχέα ὄρη ἐν μέσῳ καὶ δύσβατα.
and rough mountains in (the)-middle and impassable

XXVI · CÜNEYD CHANGES SIDES

